# ΕΓΚΥΚΛΙΟΣ

ΤΗΣ ΜΙΑΣ ΑΓΙΑΣ ΚΑΘΟΛΙΚΗΣ

ΚΑΙ

ΑΠΟΣΤΟΛΙΚΗΣ ΕΚΚΛΗΣΙΑΣ

## ΕΠΙΣΤΟΛΗ

N. 172

ΠΡΟΣ ΤΟΥΣ

ΑΠΑΝΤΑΧΟΥ ΟΡΘΟΔΟΞΟΥΣ.

ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ

ΕΚ ΤΗΣ ΠΑΤΡΙΑΡΧΙΚΗΣ ΤΟΥ ΓΕΝΟΥΣ ΤΥΠΟΓΡΑΦΙΑΣ.

1848.

1848

НБ ОНУ імені І.І.Мечникова

ψυχοκάλλης — περιαδρανὴ φρόνησις —
ὡς εἴδικαν — κανόνι στοιχείων πυκνότητ.
ταρσαλέος ἢ κίσυνος — αὐτοδόκητος Ναύαξις —
δυσδιευθέτητον — ἀδιεξίτητοι λαβύρινθοι
ἀδιόρθωτοι ἀμαρτίαι ἀνεκποιήσιμον —
καθορκίζεσθαι — τῶν θεάτρων ἢ ᾀδείων —
σχολαστικὴ ἑταιρεία —

НБ ОНУ імені І.І.Мечникова

8181

# ΕΓΚΥΚΛΙΟΣ

ΤΗΣ ΜΙΑΣ ΑΓΙΑΣ ΚΑΘΟΛΙΚΗΣ

ΚΑΙ

ΑΠΟΣΤΟΛΙΚΗΣ ΕΚΚΛΗΣΙΑΣ

# ΕΠΙΣΤΟΛΗ

ΠΡΟΣ ΤΟΥΣ

ΑΠΑΝΤΑΧΟΥ ΟΡΘΟΔΟΞΟΥΣ.

ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ

ΕΚ ΤΗΣ ΠΑΤΡΙΑΡΧΙΚΗΣ ΤΟΥ ΓΕΝΟΥΣ ΤΥΠΟΓΡΑΦΙΑΣ.

1848.

НБ ОНУ імені І.І.Мечникова

НБ ОНУ імені І.І.Мечникова

ΠΑΣΙ ΤΟΙΣ ΑΠΑΝΤΑΧΟΥ ΕΝ ΑΓΙΩ ΠΝΕΥΜΑΤΙ ΑΓΑΠΗΤΟΙΣ ΚΑΙ ΠΕΡΙΣΠΟΥΔΑΣΤΟΙΣ ΗΜΙΝ ΑΔΕΛΦΟΙΣ ΑΓΙΟΙΣ ΑΡΧΙΕΡΕΥΣΙ, ΤΩ ΤΕ ΠΕΡΙ ΑΥΤΟΥΣ ΕΥΛΑΒΕΣΤΑΤΩ ΚΛΗΡΩ, ΚΑΙ ΠΑΣΙ ΤΟΙΣ ΟΡΘΟΔΟΞΟΙΣ ΓΝΗΣΙΟΙΣ ΤΕΚΝΟΙΣ ΤΗΣ ΜΙΑΣ ΑΓΙΑΣ ΚΑΘΟΛΙΚΗΣ ΚΑΙ ΑΠΟΣΤΟΛΙΚΗΣ ΕΚΚΛΗΣΙΑΣ, ΤΟΝ ΕΝ ΠΝΕΥΜΑΤΙ ΑΓΙΩ ΑΔΕΛΦΙΚΟΝ ΑΣΠΑΣΜΟΝ, ΚΑΙ ΠΑΝ ΑΓΑΘΟΝ ΠΑΡΑ ΘΕΟΥ ΚΑΙ ΣΩΤΗΡΙΟΝ

§ 1. ΩΦΕΙΛΕ μὲν τὸ τῆς ἀπολυτρώσεως ἡμῶν εὐαγγελικὸν ἱερὸν καὶ θεῖον κήρυγμα τοιοῦτον ἀκίβδηλον κηρύττεσθαι παρὰ πάντων, καὶ τοιοῦτον ἁγνὸν πιστεύεσθαι αἰωνίως, οἷον ὁ Σωτὴρ ἡμῶν ὁ ἐπ' αὐτῷ κενώσας ἑαυτὸν, μορφὴν δούλου λαβὼν, καταβὰς ἐκ τῶν Πατρικῶν καὶ θεϊκῶν κόλπων, ἀπεκάλυψεν εἰς τοὺς θείους καὶ ἱεροὺς Μαθητὰς αὐτοῦ, καὶ οἷον αὐτοὶ, μάρτυρες γενόμενοι αὐτήκοοί τε καὶ αὐτόπται, ὡς σάλπιγγες διαπρύσιοι, τορῶς ἤχησαν εἰς πᾶσαν τὴν ὑφήλιον· (ὁ γὰρ φθόγγος αὐτῶν ἐξῆλθεν εἰς πᾶσαν τὴν Γῆν, καὶ τὰ ῥήματα αὐτῶν εἰς τὰ πέρατα τῆς οἰκουμένης)· καὶ τέλος, οἷον ἀνεπηρέαστον, τὰς αὐτὰς φωνὰς ἐπαναλαμβάνοντες, οἱ τοσοῦτοι καὶ τηλικοῦτοι θεοφόροι Πατέρες τῆς



НБ ОНУ імені І.І.Мечникова

Καθολικῆς Ἐκκλησίας, οἱ ἐκ περάτων Γῆς, μέχρις ἡμῶν Συνοδικῶς τε καὶ ἰδίᾳ διδάσκοντες, πανδήμως παρέδωκαν· ἀλλ' ὁ ἀρχέκακος νοητὸς ἐχθρὸς τῆς τῶν ἀνθρώπων σωτηρίας, ὡς πάλαι καὶ ἐν τῇ Ἐδὲμ, πρόσωπον ὠφελίμου δῆθεν συμβούλου δολίως ἀναλαβὼν, παραβάτην τῆς θείας ῥητῆς ἐντολῆς ἐποίησε τὸν ἄνθρωπον, οὕτω καὶ ἐν αὐτῇ τῇ νοητῇ Ἐδὲμ, τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ, πολλοὺς κατὰ καιρὸν ἀπατήσας, καὶ πονηροῖς καὶ ἀντιθέοις λογισμοῖς ἐμβαλὼν, καὶ ὀργάνοις αὐτοῖς χρώμενος, τὸ δηλητήριον τῆς αἱρέσεως εἰς τὰ διαυγῆ νάματα τῆς ὀρθοδόξου διδασκαλίας συγκιρνῶν, ἐν ποτηρίοις περικεχρυσωμένοις τῇ εὐαγγελικῇ δῆθεν χριστολογίᾳ, ποτίζει πολλούς τινας, ἀθώους μὲν, ἀπροφυλάκτως δὲ βιοῦντας, καὶ μὴ " προσέχοντας πε-
" ρισσοτέρως τοῖς ἀκουσθεῖσι,, (Ἑβρ β. α.) καὶ παρὰ τῶν Πατέρων αὐτῶν ἀναγγελθεῖσι (Δευτερ. λβ. 7) συμφώνως τῷ Εὐαγγελίῳ, καὶ ὁμοειδῶς τοῖς προτέροις ἀεὶ διδασκάλοις, μηδὲ ἡγουμένους αὐτάρκη εἰς ψυχικὴν αὐτῶν σωτηρίαν τὸν ῥητὸν καὶ γραπτὸν λόγον τοῦ Κυρίου, καὶ τὸ κῦρος τῆς διηνεκοῦς Ἐκκλησίας, ἀλλὰ νεοχμὸν δυσσέβειαν καὶ καινοτομίας ὡς ἐπ' ἱματίοις θηρεύοντας, καὶ παντοιοτρόπως τὴν εὐαγγελικὴν διδασκαλίαν κιβδηλευθεῖσαν περιπτυσσομένους.

§ 2. Ἐντεῦθεν αἱ πολυσχιδεῖς καὶ τερατώδεις αἱρέσεις, ἃς ἡ Καθολικὴ Ἐκκλησία, ἤδη ἐκ τῶν σπαργάνων αὐτῆς, ἀναλαβοῦσα τὴν Πανοπλίαν τοῦ

НБ ОНУ імені І.І. Мечникова

Θεοῦ, καὶ δραξαμένη τὴν μάχαιραν τοῦ Πνεύματος, "ὅ ἐστι τὸ ῥῆμα τοῦ Θεοῦ,,('Εφ. ς.17.) ἠνάγκασται ἵνα καταπολεμήσῃ, καὶ κατὰ πασῶν ἐθριάμβευσέ τε μέχρι τῆς σήμερον, καὶ θριαμβεύσει τροπαιοφόρος εἰς αἰῶνα τὸν ἅπαντα, λαμπροτέρα ἀείποτε καὶ ἰσχυροτέρα ἀναφαινομένη μετὰ τὴν συμπλοκήν.

§ 3. Ἀλλὰ τούτων τῶν αἱρέσεων αἱ μὲν ἤδη καὶ πάντῃ ἐξέλιπον, αἱ δὲ φθίνουσι, αἱ δὲ ἀπεμαράνθησαν, αἱ δὲ καὶ θάλλουσι κατά γε τὸ μᾶλλον καὶ ἧττον, ἀκμαῖαι ἄχρι καιροῦ ἀποκαταστάσεως αὐτῶν, καὶ ἄλλαι πάλιν ἀναφύονται, ὅπως διατρέξωσι τὴν ἑαυτῶν περίοδον ἀπὸ γενέσεως μέχρι φθορᾶς· οὖσαι γὰρ δειλαίων ἀνθρώπων δείλαιοι διαλογισμοὶ καὶ ἐπίνοιαι, ὥσπερ κἀκεῖναι, οὕτω καὶ αὗται ἐμβροντηθεῖσαι τῷ κεραυνῷ τοῦ ἀναθέματος τῶν ἑπτὰ Οἰκουμενικῶν Συνόδων, ἐξίτηλοι γίνονται, κἂν χίλια ἔτη διατηρηθῶσι· μόνη γὰρ ἡ Ὀρθοδοξία τῆς Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας, ὡς ἐμψυχουμένη παρὰ τοῦ ζῶντος Λόγου τοῦ Θεοῦ, διατελεῖ καὶ αὐτὴ αἰωνία κατὰ τὴν ἀψευδῆ ἐπαγγελίαν τοῦ Κυρίου "Πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς,, (Ματθ. ις. 18), ἤτοι στόματα ἀσεβῶν καὶ αἱρετικῶν (ὡς ἐξηγοῦνται ἡμῖν οἱ θεῖοι Πατέρες) ὅσον δεινά, ὅσον εὔλαλα καὶ πιθανά, ὅσον καταπληκτικὰ καὶ ἀνώτιν, οὐ κατισχύσουσι τῆς ἡσύχου καὶ σιγηλῆς ὀρθῆς διδασκαλίας. Ἀλλ' ἄρα γε "τί ὅτι ὁδὸς ἁμαρτωλῶν εὐοδοῦται; ,,

НБ ОНУ імені І.І. Мечникова

(Ἱερ. ιβ΄. 1.)· καὶ οἱ δυσσεβεῖς ἐπαίρονται καὶ ὑψοῦνται ὡς αἱ κέδροι τοῦ Λιβάνου (ψαλμ. λς΄.), πειράζοντες τὴν ἥσυχον λατρείαν τοῦ Θεοῦ; ὁ λόγος τούτου ἄῤῥητός ἐστι, καὶ ἡ Ἐκκλησία, καίτοι παρακαλοῦσα καθ᾽ ἑκάστην, ἵνα ἀποστῇ ἀπ᾽ αὐτῆς οὗτος ὁ σκόλοψ, οὗτος ὁ Ἄγγελος Σατᾶν, ἀκούει πάντοτε παρὰ τοῦ Κυρίου "Ἀρκεῖ σοι ἡ χά-" ρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦ-" ται.„ (β΄. Κορινθ. ιβ΄.)· διὸ "ἥδιστα μᾶλλον καυ-" χᾶται ἐν ταῖς ἀσθενείαις αὐτῆς, ἵνα ἐπισκηνώ-" σῃ ἐπ᾽ αὐτὴν ἡ δύναμις τοῦ Χριστοῦ·„ καὶ "ἵ-" να οἱ δόκιμοι φανεροὶ γένωνται.„ (Α΄. Κορ. ια΄. 19.)

§ 4. Τούτων τῶν πλατυνθεισῶν, κρίμασιν οἷς οἶδεν ὁ Κύριος, ἐπὶ μέγα μέρος τῆς οἰκουμένης αἱρέσεων, ἥν ποτε ὁ Ἀρειανισμός, ἔστι δὲ τὴν σήμερον καὶ ὁ Παπισμός, ἀλλὰ καὶ οὗτος, (ὥσπερ κἀκεῖνος ὁ ἤδη παντάπασιν ἐκλελοιπώς,) καίτοι ἀκμαῖος τόγε νῦν, οὐκ ἰσχύσει εἰς τέλος, ἀλλὰ διελεύσεται καὶ καταβληθήσεται, καὶ ἡ οὐράνιος μεγάλη φωνὴ ἠχήσει "κατεβλήθη„ (Ἀποκάλ. ιβ΄. 10.)

§ 5. Ἡ καινοφανὴς δόξα "ὅτι τὸ Πνεῦμα τὸ Ἅ-" γιον ἐκπορεύεται ἐκ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Υἱ-" οῦ·„ ἐναντίον τῆς ῥητῆς ἑρμηνείας τοῦ Κυρίου ἡμῶν, ἐπ᾽ αὐτῷ ἐμπεριστάτως γενομένης (Ἰωάνν. ιε΄. 26.) "Ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται·„ καὶ ἐναντίον τῆς ὁμολογίας συμπάσης τῆς Καθολικῆς Ἐκκλησίας, καθὰ μαρτυρεῖται ὑπὸ τῶν ἑπτὰ Οἰκουμενικῶν Συνόδων, "τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευό-

" μενον ,, (Σύμβ. Πίστ.) Α΄. Ὡς ἀναιροῦσα τὴν ἐν τῷ Εὐαγγελίῳ μαρτυρουμένην ἐκ μιᾶς αἰτίας ἑνικὴν μέν, ἑτεροειδῆ δὲ πρόοδον τῶν θείων προσώπων τῆς Μακαρίας Τριάδος. Β. Ὡς ἐπιφέρουσα ἑτεροτελεῖς καὶ ἀνίσους σχέσεις εἰς αὐτὰς τὰς ἰσοδυνάμους καὶ συμπροσκυνουμένας ὑποστάσεις, καὶ σύγχυσιν αὐτῶν ἢ συνίζησιν. Γ΄. Ὡς ἐλέγχουσα ἀτελῆ δῆθεν, ἢ γοῦν σκοτεινὴν καὶ δύσληπτον πρὸ αὐτῆς τὴν ὁμολογίαν τῆς μιᾶς ἁγίας Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας. Δ΄. ὡς καθαπτομένη τῶν ἐν Νικαίᾳ τῆς πρώτης Οἰκουμενικῆς Συνόδου, καὶ τῶν ἐν Κωνσταντινουπόλει δευτέρας Οἰκουμενικῆς Συνόδου ἁγίων Πατέρων, θεολογησάντων δῆθεν ἀτελῶς τὰ περὶ τοῦ Υἱοῦ καὶ ἁγίου Πνεύματος, ὡς σιγησάντων τηλικαύτην ἰδιότητα τῆς Θεότητος ἑκατέρων τῶν προσώπων, καίτοι οὔσης ἀνάγκης, ἵνα ἑρμηνευθῶσιν ἅπασαι αἱ θεϊκαὶ αὐτῶν ἰδιότητες κατά τε τῶν Ἀρειανῶν καὶ τῶν Μακεδονιανῶν. Ε΄. Ὡς ὑβρίζουσα τοὺς Πατέρας τῆς Γ΄. Δ΄. Ε΄. ς΄. καὶ Ζ΄. Οἰκουμενικῆς Συνόδου, ἀνακηρύξαντας εἰς τὴν ὑφήλιον παντέλειον καὶ πάμπληρες τὸ θεῖον Σύμβολον, ὥστε καὶ ἀραῖς φρικταῖς καὶ ἐπιτιμίοις ἀλύτοις ἀπειπεῖν πᾶσαν προσθήκην καὶ ἀφαίρεσιν, ἢ ἀλλοίωσιν, ἢ μετάθεσιν ἔτι καὶ κεραίας αὐτῆς, καὶ εἰς ἑαυτοὺς καὶ εἰς οὑστινασοῦν ἄλλους· τὸ δὲ τάχα ἦν διορθωτέον καὶ αὔξιμον· καὶ ἀκολούθως ἅπασα ἡ θεολογικὴ τῶν Καθολικῶν Πατέρων διδασκαλία ἀλλοιωτέα, ὡς ἀνακαλυφθείσης δῆθεν νέας ἰδιοτη-

НБ ОНУ імені І.І. Мечникова

τος καὶ εἰς τὰ τρία πρόσωπα τῆς Μακαρίας Τριάδος. ς΄. Ὡς παρεισδύσασα κατ' ἀρχὰς ἐν ταῖς Ἐκκλησίαις τῆς Δύσεως· " λύκος ἐν δέρματι προβά-" του ,, τούτέστιν ὑπὸ σημασίαν οὐ τῆς ἐκπορεύσεως, κατὰ τὴν ἐν τῷ Εὐαγγελίῳ καὶ τὴν ἐν τῷ Συμβόλῳ Ἑλληνικὴν ἐκδοχήν· ἀλλ' ὑπὸ τὴν σημασίαν τῆς ἀποστολῆς, καθὰ ἀπελογεῖτο ὁ Πάπας Μαρτῖνος πρὸς τὸν Ὁμολογητὴν Μάξιμον, καὶ καθὰ ἐξηγεῖτο Ἀναστάσιος ὁ Βιβλιοθηκάριος ἐπὶ Ἰωάννου τοῦ Η΄. Ζ΄. Ὡς βιάσασα ἰδιωτικῶς τόλμῃ ἀνεικάστῳ, καὶ παραχαράξασα αὐτὸ τὸ Σύμβολον, οὖσαν κοινὴν παρακαταθήκην τοῦ χριστιανισμοῦ. Η΄. Ὡς ἐπαγαγοῦσα τηλικαύτας ταραχὰς ἐν τῇ ἡσύχῳ Ἐκκλησίᾳ τοῦ Θεοῦ, καὶ σχίσασα τὰ Ἔθνη. Θ΄. Ὡς ἀποκηρυχθεῖσα πανδήμως κατ' αὐτὴν τὴν πρώτην ἐμφάνησιν αὐτῆς ὑπὸ δύω ἀειμνήστων Παπῶν, Λέοντος τοῦ Γ΄. καὶ Ἰωάννου τοῦ Η΄. ὃς καὶ μετὰ τοῦ Ἰούδα συνέταξε τοὺς πρώτως εἰσαγαγόντας αὐτὴν εἰς τὸ θεῖον Σύμβολον, ἐν τῇ πρὸς τὸν ἱερὸν Φώτιον ἐπιστολῇ. Ι΄. Ὡς καταδικασθεῖσα ὑπὸ πολλῶν ἱερῶν Συνόδων τῶν τεσσάρων Πατριαρχῶν τῆς ἑώας λήξεως. ΙΑ΄. Ὡς ἀναθέματι καθυποβληθεῖσα, οἷα νεωτερισμὸς καὶ ἐπαύξησις τοῦ Συμβόλου κατὰ τὴν Η΄. Οἰκουμενικὴν Σύνοδον τὴν ἐν Κωνσταντινουπόλει συγκροτηθεῖσαν ἐπὶ εἰρήνῃ τῶν Ἀνατολικῶν τε καὶ Δυτικῶν Ἐκκλησιῶν. ΙΒ΄. Ὡς ἅμα εἰσαχθεῖσα ἐν ταῖς κατὰ τὴν Δύσιν Ἐκκλησίαις, ἤτοι αὐτὴ ἐτεκνοποίη-

НБ ОНУ імені І.І. Мечникова

σεν αἴσχιστα γεννήματα, ἡ συμπαρεισήγαγε κατὰ μικρὸν ἑτέρας καινοτομίας, τὰς πλείστας ἐναντιουμένας εἰς τὰς ῥητῶς γεγραμμένας ἐν τῷ Εὐαγγελίῳ διαταγὰς τοῦ Σωτῆρος ἡμῶν, διατηρηθείσας ἀκριβῶς μέχρι τῆς εἰσαγωγῆς αὐτῆς ἐν ταῖς Ἐκκλησίαις, εἰς ἃς παρεισήχθη: οἷον ῥάντισμα ἀντὶ βαπτίσματος· ἀπάρνησιν τοῦ θείου Ποτηρίου εἰς τοὺς Λαϊκούς· καὶ ἄρσιν μὲν τοῦ ἑνὸς καὶ τοῦ αὐτοῦ ἄρτου κλωμένου, χρῆσιν δὲ φολλιδίων. ἄζυμον ἀντὶ ἄρτου, ἀφαίρεσιν ἀπὸ τῶν λειτουργιῶν τῆς εὐλογίας, ἤτοι τῆς θείας ἐπικλήσεως τοῦ Παναγίου καὶ Τελεταρχικοῦ Πνεύματος, καὶ καταλυούσας τὰς ἀρχαίας Ἀποστολικὰς τελετὰς τῆς Καθολικῆς Ἐκκλησίας, οἷον τὸ τὰ βαπτιζόμενα βρέφη μήτε χρίεσθαι, μήτε μεταλαμβάνειν τῶν ἀχράντων Μυστηρίων, τοὺς ἐγγάμους μὴ ἱερᾶσθαι, τὸ ἀναμάρτητον καὶ τοποτηρητικὸν τοῦ Χριστοῦ εἰς τὸ πρόσωπον τοῦ Πάπα. κ.τ.λ. παραγκωνίσασα οὕτως ἅπαντα τὸν ἀρχαῖον Ἀποστολικὸν τύπον, μικροῦ δεῖν, ἁπάντων τῶν μυστηρίων, καὶ ἁπάσης τῆς διδασκαλίας, ὃν κατεῖχεν ἡ ἀρχαία ἁγία καὶ ὀρθόδοξος Ἐκκλησία τῆς Ῥώμης, οὖσα τότε μέλος τιμιώτατον τῆς ἁγίας Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας. ΙΓ΄. Ὡς παρωθήσασα τοὺς Θεολόγους τῆς Δύσεως, ὑπερασπιστὰς αὐτῆς γενομένους, διὰ τὸ μὴ ἔχειν αὐτὴν χώραν μηδεμίαν μήτε ἐν τῇ Γραφῇ, μήτε ἐν τοῖς Πατράσι, πρὸς εὐπροσωπισμὸν τῶν ἀπαριθμηθεισῶν ἑτεροδιδασκαλιῶν, οὐ μόνον εἰς τὰς

НБ ОНУ імені І. І. Мечникова

τῶν Γραφῶν παρερμηνείας, οἵας οὐχ ὁρῶμεν εἰς οὐδένα τῶν Πατέρων τῆς Καθολικῆς ἁγίας Ἐκκλησίας, ἀλλὰ καὶ εἰς παραχαράξεις ἱερῶν καὶ ἀθίκτων κειμένων τῶν τε Ἀνατολικῶν καὶ Δυτικῶν θείων Πατέρων. ΙΔ΄. Ὡς φανεῖσα ξένη, ἀνήκουστος καὶ βλάσφημος ἔτι καὶ εἰς τὰς δι' ἑτέρους δικαίους λόγους πρὸ τῆς γενέσεως αὐτῆς δι' αἰώνων ἀποκλεισθείσας ἀπὸ τῆς Καθολικῆς Μάνδρας λοιπὰς ὑφισταμένας χριστιανικὰς κοινωνίας. ΙΕ΄. Ὡς μὴ δυνηθεῖσα εἰσέτι ἀπολογηθῆναι ἐκ τῶν Γραφῶν κἂν πιθανῶς, ἢ τουλάχιστον ἐλλόγως ἐκ τῶν Πατέρων σὺν πάσῃ τῇ σπουδῇ καὶ τῷ ἀγῶνι τῶν ὑπερασπιστῶν αὐτῆς, εἰς οὐδεμίαν τῶν καταλεχθεισῶν κατηγοριῶν· ἡ τοιαύτη δόξα φέρει ἅπαντα τὰ χαρακτηριστικὰ τῆς ἑτεροδιδασκαλίας, προϊόντα ἐκ τῆς φύσεως καὶ τῶν ἰδιωμάτων αὐτῆς· καὶ ἐπειδὴ πᾶσα ἑτεροδιδασκαλία ἁπτομένη αὐτοῦ τοῦ Καθολικοῦ φρονήματος περί τε τῆς Μακαρίας Τριάδος καὶ τῶν θείων προόδων, καὶ δὴ καὶ αὐτῆς τῆς ὑπάρξεως τοῦ Παναγίου Πνεύματος, ἔστι τε καὶ λέγεται αἵρεσις, καὶ οἱ οὕτω φρονοῦντες αἱρετικοὶ, κατὰ τὴν ἀπόφασιν τοῦ ἐν ἁγίοις Δαμάσου Πάπα Ῥώμης, " εἴτις περὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καλῶς φρο- " νήσει, περὶ δὲ τοῦ ἁγίου Πνεύματος " οὐκ ὀρθῶς ἔχει, αἱρετικός ἐστι", (ὁμολ. Καθ. Πιστ. ἣν ὁ Πάπας Δάμασος ἀπέστειλε πρὸς Ἐπίσκοπον Παυλῖνον Θεσσαλονίκης·) διὰ τοῦτο ἡ μία ἁγία Καθολικὴ καὶ Ἀποστολικὴ Ἐκκλη-

НБ ОНУ імені І.І.Мечникова

σία, ἑπομένη τοῖς ἴχνεσι τῶν ἁγίων Πατέρων, Ἀνατολικῶν τε καὶ Δυτικῶν, ἐκήρυξέ τε πάλαι ἐπὶ τῶν Πατέρων ἡμῶν, καὶ κηρύττει πάλιν σήμερον Συνοδικῶς, αὐτὴν μὲν τὴν ῥηθεῖσαν καινοφανῆ δόξαν, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται ἐκ Πατρὸς καὶ Υἱοῦ, εἶναι οὐσιωδῶς αἵρεσιν, καὶ τοὺς ὀπαδοὺς αὐτῆς, οἱοιδήποτε καὶ ἂν ὦσιν, αἱρετικούς, κατὰ τὴν ῥηθεῖσαν Συνοδικὴν ἀπόφασιν τοῦ Ἁγιωτάτου Πάπα Δαμάσου, καὶ τὰς ἐξ αὐτῶν συγκροτουμένας συνάξεις αἱρετικάς, καὶ πᾶσαν κοινωνίαν πνευματικὴν καὶ θρησκευτικὴν τῶν ὀρθοδόξων τέκνων τῆς Καθολικῆς Ἐκκλησίας πρὸς τοὺς τοιούτους ἄθεσμον. Μάλιστα τῇ δυνάμει τοῦ Ζʹ. Κανόνος τῆς Γʹ. Οἰκουμενικῆς Συνόδου.

§ 6. Αὕτη ἡ αἵρεσις συνημμένους ἔχουσα ἑαυτῇ καὶ παμπόλλους νεωτερισμούς, ὡς εἴρηται, γνωρισθεῖσα περὶ τὸν ἕβδομον αἰῶνα μεσοῦντα, ἄγνωστος τὴν ἀρχὴν καὶ ἀνώνυμος, καὶ δὴ καὶ ὑπὸ διαφόρους σημασίας κατὰ τὰς Δυτικὰς Ἐπαρχίας τῆς Εὐρώπης, ἠρέμα ὑφέρπουσα ἐν διαστήματι τεσσάρων ἢ πέντε αἰώνων, κατισχύσασα τῆς ἀρχαίας Ὀρθοδοξίας ἐκείνων τῶν μερῶν, ἀκηδίᾳ τῶν ἐκεῖ τότε Ποιμένων, καὶ προστασίᾳ τῶν Ἡγεμόνων, ἀπεπλάνησε κατὰ μικρὸν οὐ μόνον τὰς τότε ἔτι ὀρθοδοξούσας Ἐκκλησίας τῶν Ἱσπανιῶν, ἀλλὰ καὶ τὰς Γερμανικὰς καὶ τὰς Γαλλικάς, καὶ τὰς Ἰταλικὰς αὐτάς, ὧν ἡ ὀρθοδοξία κατηγγέλλετό ποτε

εἰς ἅπαντα τὸν κόσμον, καὶ πρὸς ἃς πολλάκις ἐκοινολογοῦντο οἱ θειότατοι Πατέρες ἡμῶν, οἷος ὁ Μέγας Ἀθανάσιος, καὶ ὁ Οὐρανοφάντωρ Βασίλειος, καὶ ὧν ἡ μεθ' ἡμῶν σύμπνοιά τε καὶ σύμπραξις μέχρι τῆς ἑβδόμης Οἰκουμενικῆς Συνόδου διετήρησεν ἀλώβητον τὴν διδασκαλίαν τῆς Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας. Ἀλλὰ τέως φθόνῳ τοῦ μισοκάλου οἱ νεωτερισμοὶ αὐτῆς περί τε τὴν ὑγιᾶ καὶ ὀρθόδοξον Θεολογίαν τοῦ Παναγίου Πνεύματος, (οὗ " ἡ βλασφημία οὐκ ἀφεθήσεται (τοῖς ἀνθρώποις) " οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι,, κατὰ τὴν τοῦ Κυρίου ἀπόφασιν, Ματθ. ιϐ΄.) καὶ ἀλληλοδιαδόχως οἱ περὶ τὰ θεῖα μυστήρια, καὶ μάλιστα οἱ περὶ τὸ μυστήριον τοῦ τε κοσμοσωτηρίου Βαπτίσματος καὶ τῆς θείας Κοινωνίας, καὶ τῆς Ἱερωσύνης νεωτερισμοὶ, οἷα γεννήματα τερατώδη, συμπαρακολουθήσαντες κατεκυρίευσαν καὶ αὐτὴν τὴν Πρεσβυτέραν Ῥώμην, ὁπόθεν ἐνδυθεῖσα ἐπισημότητα ἐν τῇ Ἐκκλησίᾳ, πρὸς διαστολὴν εἴληχε καὶ προσηγορίαν Παπισμός. Οἱ γὰρ Ἐπίσκοποι αὐτῆς Πάπαι ἐπωνυμούμενοι, εἰ καὶ τὸ κατ' ἀρχὰς τινες αὐτῶν Οἰκουμενικῶς ἐκηρύχθησαν κατὰ τοῦ νεωτερισμοῦ, οἷος Λέων ὁ Γ΄. καὶ Ἰωάννης ὁ Η΄. ὡς προείρηται, καὶ εἰς τὴν ὑψηλὴν ἀπεκήρυξαν αὐτὴν, ὁ μὲν διὰ τῶν ἀργυρῶν ἐκείνων ἀσπίδων, ὁ δὲ διὰ τῆς εἰς τὴν Η΄. Οἰκουμενικὴν Σύνοδον πρὸς τὸν ἱερὸν Φώτιον Ἐπιστολῆς αὐτοῦ, καὶ διὰ τῆς πρὸς Σφενδόπουλχρον ὑπὲρ τοῦ

НБ ОНУ імені І.І. Мечникова

Μεθοδίου Ἐπισκόπου Μοραυΐας, οἱ πλείους μέντοι τῆς μετ᾽ αὐτοὺς διαδοχῆς, δελεασθέντες ἐκ τῶν ὑπὸ τῆς αἱρέσεως χορηγουμένων αὐτοῖς ἀντισυνοδικῶν προνομίων ἐπὶ καταδυναστείᾳ τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ, καὶ εὑρόντες ἐν αὐτοῖς πολὺ τὸ κοσμικὸν ὄφελος καὶ " τὴν ἐργασίαν πολλὴν ,, φαντασθέντες μονοκρατορίαν ἐν τῇ Καθολικῇ Ἐκκλησίᾳ, καὶ μονοπώλιον τῶν χαρισμάτων τοῦ ἁγίου Πνεύματος, οὐ μόνον τὸ κατ᾽ αὐτοὺς ἠλλοίωσαν ἀρχαῖον θρήσκευμα, ἀποσχίσαντες ἑαυτοὺς τοῖς ῥηθεῖσι νεωτερισμοῖς ἀπὸ τοῦ λοιποῦ ἀρχαίου τε καὶ ὑφισταμένου χριστιανικοῦ πολιτεύματος, ἀλλ᾽ ἐσπούδασαν, οὐκ ἄνευ ἀθεμίτων παραπραγματεύσεων, ὡς ἡ ἀληθὴς ἱστορία παρέδωκεν ἡμῖν, ἵνα συναποσπάσωσι καὶ τὰς λοιπὰς τέσσαρας Πατριαρχείας εἰς τὴν αὐτῶν ἀποστασίαν ἀπὸ τῆς Ὀρθοδοξίας, καὶ δουλώσωσιν οὕτω τὴν Καθολικὴν Ἐκκλησίαν εἰς θελήσεις καὶ διαταγὰς ἀνθρώπων.

§ 7. Οἱ τότε ἀοίδιμοι Προκάτοχοί τε καὶ Πατέρες ἡμῶν κοινῷ τῷ πόνῳ καὶ τῷ βουλεύματι, ἰδόντες λὰξ πατουμένην τὴν προγονικὴν εὐαγγελικὴν διδασκαλίαν, καὶ τὸν ἄνωθεν ὑφαντὸν χιτῶνα τοῦ Σωτῆρος ἡμῶν χερσὶν ἀνοσίοις διαῤῥηγνύμενον, πατρικῷ τε καὶ ἀδελφικῷ φίλτρῳ οἰστρούμενοι, ἔκλαυσαν μὲν τὴν ἀπώλειαν τοσούτων Χριστιανῶν "ὑπὲρ " ὧν ὁ Χριστὸς ἀπέθανεν ,, κατεβάλοντο δὲ πολλὴν τὴν σπουδὴν καὶ φιλοτιμίαν, Συνοδικῶς τε ἅμα καὶ ἰδίᾳ, ἵνα, σωζομένης τῆς Ὀρθοδόξου διδασκαλίας

τῆς Καθολικῆς ἁγίας Ἐκκλησίας, συῤῥάψωσιν, ὁπώσποτε δυνηθῶσι τὸ διεῤῥωγός, καὶ ὡς δόκιμοι ἰατροὶ συνεσκέφθησαν ὑπὲρ τῆς σωτηρίας τοῦ πεπονθότος μέλους, πολλὰς ὑπενεγκόντες καὶ θλίψεις καὶ περιφρονήσεις καὶ διωγμούς, μόνον ὅπως μὴ καταμελισθῇ τὸ σῶμα τοῦ Χριστοῦ, μόνον ὅπως μὴ καταπατηθῶσιν οἱ ὅροι τῶν θείων καὶ σεπτῶν Συνόδων. Ἀλλ' ἡ ἀψευδὴς ἱστορία παρέδωκεν εἰς ἡμᾶς τὸ ἄτεγκτον τῆς Δυτικῆς ἐπιμονῆς εἰς τὴν πλάνην· οἱ ἀοίδιμοι οὗτοι ἄνδρες ἐπειράθησαν ἔργῳ καὶ εἰς ταύτην τὴν ὑπόθεσιν τὸ ἀληθὲς τῶν λόγων τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου τοῦ Οὐρανοφάντορος, λέγοντος ἔτι καὶ τότε ἐκ πείρας περὶ τῶν Ἐπισκόπων τῆς Δύσεως, καὶ ἰδίᾳ περὶ τοῦ κατ' αὐτὸν Πάπα, " Οἳ τόγε ἀληθὲς οὔτε ἴσασιν, " οὔτε μαθεῖν ἀνέχονται, πρὸς μὲν τοὺς τὴν ἀλή- " θειαν αὐτοῖς ἐπαγγέλλοντας φιλονεικήσαντες, τὴν " δὲ αἵρεσιν δι' ἑαυτῶν ἐπιβεβαιώσαντες ,, (πρὸς Εὐσεβ. Σαμοσ.) καὶ οὕτω μετὰ πρώτην καὶ δευτέραν νουθεσίαν ἀδελφικήν, γνόντες τὸ ἀμετανόητον αὐτῶν, " ἀποσεισάμενοι ,, καὶ " παραιτηθέντες " παρέδωκαν αὐτοὺς εἰς τὸν ἀδόκιμον αὐτῶν νοῦν,, (" κρείττων γὰρ πόλεμος εἰρήνης χωριζούσης Θεοῦ,, ὡς εἶπε καὶ ὁ ἐν ἁγίοις Πατὴρ ἡμῶν Γρηγόριος περὶ τῶν Ἀρειανῶν). Ἔκτοτε οὐδεμία κοινωνία πνευματικὴ ἡμῖν τε καὶ αὐτοῖς· βαθὺ γὰρ ὤρυξαν τὸ χάσμα ἰδίαις χερσί, τὸ μεταξὺ αὐτῶν τε καὶ τῆς Ὀρθοδοξίας.

НБ ОНУ імені І. І. Мечникова

§ 8. Ἀλλ' οὐ διὰ τοῦτο ἔπαυσεν ὁ Παπισμὸς ἐπηρεάζων τὴν ἥσυχον Ἐκκλησίαν τοῦ Θεοῦ, ἀλλ' ἀποστέλλων ἀπανταχοῦ Μισσιοναρίους λεγομένους, ἄνδρας ψυχοκαπήλους, " περιάγει Γῆν καὶ θάλασ-
" σαν, ἵνα ποιήσῃ ἕνα προσήλυτον, „ ἀπατήσῃ ἕνα τῶν ὀρθοδόξων, διαφθείρῃ τὴν τοῦ Κυρίου ἡμῶν διδασκαλίαν, νοθεύσῃ διὰ προσθήκης τὸ θεῖον Σύμβολον τῆς ἱερᾶς ἡμῶν Πίστεως, περιττὸν ἀναδείξῃ τὸ Θεοπαράδοτον Βάπτισμα, ἄχριστον τὴν κοινωνίαν τοῦ Ποτηρίου τῆς Διαθήκης, καὶ μυρία ὅσα ἄλλα ὁ δαίμων τοῦ νεωτερισμοῦ ὑπηγόρευσεν εἰς τοὺς τὰ πάντα τολμήσαντας σχολαστικοὺς τοῦ μεσαίωνος, καὶ εἰς τοὺς τότε τὰ πάντα διὰ τὴν φιλαρχίαν θαῤῥήσαντας Ἐπισκόπους τῆς Πρεσβυτέρας Ῥώμης. Οἱ διὰ τὴν εὐσέβειαν μακαριστοὶ Προκάτοχοι καὶ Πατέρες ἡμῶν, καίτοι πολυμερῶς καὶ πολυτρόπως ἐπηρεασθέντες καὶ καταδιωχθέντες ἔσωθεν καὶ ἔξωθεν, ἀμέσως τε καὶ ἐμμέσως ὑπὸ τοῦ Παπισμοῦ, " πεποιθότες ἐπὶ Κύριον,, ἴσχυσαν ἵνα διασώσωσι καὶ παραδώσωσι σῶαν καὶ εἰς ἡμᾶς ταύτην τὴν ἀνεκτίμητον κληρονομίαν τῶν Πατέρων αὐτῶν, ἣν καὶ ἡμεῖς, Θεοῦ συνάρσει, μετοχετεύσομεν ὡς θησαυρὸν πολύτιμον εἰς τὰς ἐπερχομένας γενεὰς μέχρι τῆς συντελείας τῶν αἰώνων. Ἀλλ' οὐ διὰ τοῦτο παύουσιν ἕως τῆς σήμερον ἢ παύσουσιν οἱ Παπισταὶ κατὰ τὸ ἔθος αὐτῶν ἐπιτιθέμενοι κατὰ τῆς Ὀρθοδοξίας, ἣν ἔχουσιν ἔλεγχον ζῶντα καθημερινὸν ἐνώπιον τῶν ὀφθαλμῶν αὐ-

НБ ОНУ імені І.І.Мечникова

τῶν, ὡς ἀποστατήσαντες ἐκ τῆς προγονικῆς αὐτῶν Πίστεως. Εἴθε ἐποίουν τὰς ἐπιθέσεις ταύτας κατὰ τῆς ἐπιδραμούσης τὴν Ἑσπερίαν καὶ κατακυριευσάσης αἱρέσεως. Τίς γὰρ ἀμφιβάλλει ὅτι, εἴπως ἡ εἰς κατάλυσιν τῆς Ὀρθοδοξίας σπουδὴ αὐτῶν ἐνησχολεῖτο εἰς κατάλυσιν τῆς αἱρέσεως καὶ τῶν νεωτερισμῶν, κατὰ τὰς θεοφιλεῖς συμβουλὰς Λέοντος τοῦ Γ΄. καὶ Ιωάννου τοῦ Η΄. τῶν ἀοιδίμων ἐκείνων ἐσχάτων ὀρθοδόξων Παπῶν, πάλαι ἂν οὐδὲ ἴχνος ἐμεμενήκει αὐτῆς εἰς τὴν ὑφήλιον, καὶ ἦμεν ἂν νῦν λέγοντες " τὸ αὐτὸ ,, κατὰ τὴν Ἀποστολικὴν παραγγελίαν; Ἀλλ' ὁ τῶν διαδεξαμένων αὐτοὺς ζῆλος οὐκ ἦν ἐπὶ προφυλακῇ τῆς ὀρθοδόξου Πίστεως, κατὰ τὸν ἀξιομνημόνευτον ζῆλον τοῦ ἐν μακαρίοις Λέοντος τοῦ Γ΄.

§ 9. Καὶ ἄχρι μὲν καιροῦ αἱ ἐπιθέσεις τῶν προγενεστέρων Παπῶν, ὡς ἐκ προσώπου αὐτῶν, ἤδη ἐπεπαύκεισαν, καὶ μόναι αἱ τῶν κατὰ μέρος Μισσιοναρίων ἐγίνοντο· ἀρτίως δὲ ὁ κατὰ τὸ 1847. ἀναλαβὼν τὴν Ἐπισκοπὴν τῆς Ῥώμης, καὶ ἀναγορευθεὶς Πάπας Πῖος ἔννατος, ἐξέδωκε κατὰ τὴν 6. Ἰαννουαρίου τοῦ ἐνεστῶτος ἔτους Ἐγκύκλιον ἐπιγραφομένην Πρὸς τοὺς Ἀνατολικούς, συνισταμένην εἰς δώδεκα σελίδας ἐν τῇ ἑλληνικῇ μεταφράσει, ἣν ὁ ἀπεσταλμένος αὐτοῦ διεσκόρπισεν, ὡς ἔξωθέν ποθεν ἐρχόμενον μίασμα, ἐντὸς τῆς ἡμετέρας ὀρθοδόξου Ποίμνης. Ἐν ταύτῃ τῇ ἐγκυκλίῳ προσκαλεῖ μὲν τοὺς κατὰ διαφόρους καιροὺς ἐκ διαφόρων χρι-

στιανικῶν κοινωνιῶν ἀποστατήσαντας καὶ αὐτομολήσαντας εἰς τὸν Παπισμὸν, καὶ ἑπομένως οἰκείους αὐτῷ, ἀποτείνεται δ᾽ ἐκ προθέσεως καὶ εἰς τοὺς ὀρθοδόξους, ἰδίᾳ μὲν ἢ ὀνομαστὶ οὔ, ἀναφέρων δὲ ὀνομαστὶ (σελ. 3. στιχ. 14.—18. σελ. 4. στιχ. 19. καὶ σελ. 9. στιχ. 5. καὶ 17. καὶ 23.) τοὺς θείους καὶ ἱεροὺς ἡμῶν Πατέρας, δῆλός ἐστι συκοφαντῶν αὐτούς τε καὶ ἡμᾶς τοὺς διαδόχους, καὶ ἀπογόνους αὐτῶν, ἐκείνους μὲν ὡς τάχα πειθομένους εἰς τὰ παπικὰ ἐντάλματα, καὶ ἀποφάσεις ἀνετάστως καὶ ἡ προερχομένας ἀπὸ τῶν Παπῶν, ὡς τάχα διαιτητῶν τῆς Καθολικῆς Ἐκκλησίας, ἡμᾶς δὲ ὡς τάχα ἀπειθεῖς εἰς τὰ ἐκείνων παραδείγματα, καὶ ἑπομένως διαβάλλων ἡμᾶς εἰς τὸ Θεόθεν ἡμῖν ἐπιτραπὲν Ποίμνιον, ὡς ἀποσχιζομένους δῆθεν τῶν Πατέρων ἡμῶν αὐτῶν, καὶ ὡς ἀμελοῦντας τῶν ἱερῶν ἡμῖν καθηκόντων, καὶ τῆς ψυχικῆς σωτηρίας τῶν πνευματικῶν ἡμῶν τέκνων. Καὶ δὴ σφετεριζόμενος ὡς ἴδιον κτῆμα τὴν Καθολικὴν Ἐκκλησίαν τοῦ Χριστοῦ, διὰ τὸ κατέχειν, ὡς καυχᾶται, τὸν ἐπισκοπικὸν θρόνον τοῦ Μακαρίου Πέτρου, ἀπατᾶν ἐθέλει οὕτω τοὺς ἀφελεστέρους εἰς ἀποστασίαν τῆς Ὀρθοδοξίας, ἐπιλέγων τὰ εἰς πάντα τρόφιμον θεολογικῆς παιδείας παράδοξα ἐκεῖνα ῥήματα, (σελ. 10. στιχ. 29.) “οὔτε ὑπάρχει λόγος δι᾽ οὗ νὰ προφασισθῆτε
“ ἀπὸ τὴν ἐπάνοδον εἰς τὴν ἀληθινὴν Ἐκ-
“ κλησίαν καὶ κοινωνίαν μὲ τὸν ἅ-
“ γιον τοῦτον θρόνον. „

НБ ОНУ імені І.І. Мечникова

§ 10. Πάντως ἕκαστος τῶν εὐσεβῶς ἀνατεθραμμένων καὶ πεπαιδευμένων ἡμετέρων ἀδελφῶν καὶ τέκνων ἐν Χριστῷ, ἀναγινώσκων ἐπισταμένως, καὶ τῇ θεόθεν αὐτῷ δοθείσῃ σοφίᾳ, διακρίνει, ὅτι οἱ λόγοι καὶ τοῦ νῦν Ἐπισκόπου τῆς Ῥώμης, ὡς καὶ οἱ τῶν ἀπὸ τοῦ σχίσματος προκατόχων αὐτοῦ, οὐκ εἰσὶ ῥήματα εἰρήνης, ὡς λέγει (σελ. 7. στιχ. 8.) καὶ φιλοστοργίας, ἀλλὰ ῥήματα ἀπάτης καὶ παραλογισμοῦ, εἰς ἰδιοτέλειαν τείνοντα κατὰ τὸ ἔθος τῶν ἀντισυνοδικῶν αὐτοῦ προκατόχων· διὸ καὶ βέβαιοί ἐσμεν ὅτι, ὡς μέχρι τῆς σήμερον, οὕτω καὶ εἰς τὸ ἑξῆς οἱ ὀρθόδοξοι οὐκ ἀπατηθήσονται· βέβαιος γὰρ ὁ λόγος τοῦ Κυρίου ἡμῶν (Ἰωάνν. 15) " ἀλ-
" λοτρίῳ οὐ μὴ ἀκολουθήσωσι, ἀλλὰ φεύξονται ἀπ'
" αὐτοῦ, ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν.,,

§ 11. Σὺν πᾶσι τούτοις ἡμέτερον πατρικόν τε καὶ ἀδελφικὸν χρέος, καὶ ἱερὸν καθῆκον ἡγησάμεθα, ἵνα καὶ διὰ τοῦ παρόντος ἡμῶν εὐχετικοῦ στηρίξωμεν ὑμᾶς, εἰς ἣν κατέχετε ἐκ προγόνων ὀρθοδοξίαν, ἅμα τε τὸ σαθρὸν τῶν συλλογισμῶν τοῦ Ἐπισκόπου τῆς Ῥώμης ἐν παρόδῳ σημάνωμεν, ὅπερ καὶ αὐτὸς δῆλός ἐστι νοῶν· οὐ γὰρ ἀπὸ τῆς Ἀποστολικῆς αὐτοῦ ὁμολογίας ἐγκαλλωπίζει τὸν θρόνον αὐτοῦ, ἀλλ' ἀπὸ τοῦ Ἀποστολικοῦ θρόνου προσπαθεῖ συστῆσαι τὸ ἀξίωμα αὐτοῦ, καὶ ἐκ τοῦ ἀξιώματος τὴν ὁμολογίαν αὐτοῦ· τὸ δ' ἄρα ἔχει ἄλλως· μὴ γὰρ ὅτι ὁ θρόνος τῆς Ῥώμης, ὃς ἐκ μιᾶς τινος ἁπλῆς παραδόσεως νομίζεται τιμηθεὶς παρὰ τοῦ

НБ ОНУ імені І.І.Мечникова

μακαρίου Πέτρου, ἀλλ' οὐδὲ ὁ ὑπὸ τῆς θείας Γραφῆς μαρτυρούμενος κύριος θρόνος τοῦ μακαρίου Πέτρου, ἥτις ἐστὶν ἡ Ἀντιόχεια, ἧς ἡ Ἐκκλησία διὰ τοῦτο μεμαρτύρηται ὑπὸ τοῦ ἁγίου Βασιλείου (Ἐπιστ. μή. Ἀθαν. τῷ μεγ.) " ἁπασῶν τῶν κα-" τὰ τὴν Οἰκουμένην Ἐκκλησιῶν καιριωτάτη,, καί, ὅπερ μέγιστον, ἡ δευτέρα Οἰκουμενικὴ Σύνοδος γράφουσα πρὸς τὴν Σύνοδον τῶν Δυτικῶν (Τοῖς κυρίοις τιμιωτάτοις καὶ εὐλαβεστάτοις ἀδελφοῖς καὶ συλλειτουργοῖς Δαμάσῳ, Ἀμβροσίῳ, Βρίττωνι, Οὐαλεριανῷ κ.τ.λ.) μαρτυρεῖ λέγουσα " τῆς δὲ " Πρεσβυτάτης καὶ ὄντως Ἀποστολικῆς Ἐκκλη-" σίας τῆς ἐν Ἀντιοχείᾳ τῆς Συρίας, ἐν ᾗ πρώτῃ " τὸ τίμιον τῶν χριστιανῶν ἐχρημάτισεν ὄνομα· ,, οὔτε αὐτή, φαμέν, ἡ ἐν Ἀντιοχείᾳ Ἀποστολικὴ Ἐκκλησία, ἔσχε ποτὲ τὸ δικαίωμα ἵνα μὴ κρίνηται πρός τε τὴν θείαν Γραφήν, καὶ πρὸς τὰς Συνοδικὰς ἀποφάσεις, ὡς ἀληθῶς σεμνυνομένη εἰς τὸν θρόνον τοῦ Πέτρου. Καὶ τί λέγομεν; αὐτὸ τὸ πρόσωπον τοῦ μακαρίου Πέτρου ἐκρίθη κατ' ἐνώπιον πάντων πρὸς τὴν ἀλήθειαν τοῦ Εὐαγγελίου (Γαλ. β'.), καί, ὅπερ γραφικὸν μαρτύριον, εὑρέθη εἶναι " κατεγνωσμένος καὶ οὐκ ὀρθο-" ποδῶν· ,, τί οὖν ὑποληπτέον περὶ τῶν ἐγκαυχωμένων καὶ γαυριώντων μόνον ἐπὶ τῇ κατοχῇ τοῦ καθ' ὑπόληψιν θρόνου αὐτοῦ; καὶ τῷ ὄντι αὐτὸς πάλιν ὁ οὐρανοφάντωρ μέγας Βασίλειος, ὁ Οἰκουμενικὸς οὗτος διδάσκαλος τῆς Ὀρθοδοξίας ἐν τῇ

Καθολικῇ Ἐκκλησία, εἰς ὃν περ ἀναγκάζονται καὶ οἱ Ἐπίσκοποι τῆς Ῥώμης ἵνα παραπέμπωσιν (σελ. ή. στιχ. 31.) ἡμᾶς, τρανῶς καὶ καθαρῶς ἀνωτέρω (§. 7.) ἐδήλωσεν ἡμῖν, τίνα ὑπόληψιν ὀφείλομεν ἔχειν περὶ τῶν κρίσεων τοῦ Οὐατικανοῦ ἀδύτου· " οἳ τόγε ἀληθὲς οὔτε ἴσασιν, οὔτε μαθεῖν ἀνέχον-
" ται, πρὸς μὲν τοὺς τὴν ἀλήθειαν αὐτοῖς ἐπαγγέλ-
" λοντας φιλονεικοῦντες, τὴν δὲ αἵρεσιν δἰ ἑαυτῶν
" ἐπιβεβαιοῦντες· „ ὥστε αὐτοὶ ἐκεῖνοι οἱ ἅγιοι Πατέρες ἡμῶν, οὓς θαυμάζουσα ἐπαξίως ὡς φωστῆρας καὶ διδασκάλους καὶ αὐτῆς τῆς Δύσεως, ἀπαριθμεῖ ἡμῖν ἡ αὐτοῦ Μακαριότης, καὶ συμβουλεύει ἵνα ἀκολουθῶμεν (σελ. αὐτοθ.), διδάσκουσιν ἡμᾶς, ἵνα μὴ τὴν Ὀρθοδοξίαν ἐκ τοῦ ἁγίου θρόνου, ἀλλὰ τὸν θρόνον αὐτὸν καὶ τὸν ἐπὶ τοῦ θρόνου κρίνωμεν πρὸς τὰς θείας Γραφὰς, πρὸς τὰς Συνοδικὰς ἀποφάσεις καὶ ὅρους, καὶ πρὸς τὴν κεκηρυγμένην πίστιν, ἤτοι πρὸς τὴν Ὀρθοδοξίαν τῆς διηνεκοῦς διδασκαλίας. Οὕτως ἔκριναν καὶ κατέκριναν Συνοδικῶς οἱ Πατέρες ἡμῶν καὶ τὸν Ὀνώριον Πάπαν Ῥώμης, καὶ τὸν Διόσκουρον Πάπαν τῆς Ἀλεξανδρείας, καὶ τὸν Μακεδόνιον καὶ Νεστόριον Πατριάρχας Κωνσταντινουπόλεως, καὶ τὸν Πέτρον Κναφέα Πατριάρχην τῆς Ἀντιοχείας κ.τ.λ. εἴπερ γὰρ καὶ αὐτὸ τὸ " βδέλυγμα τῆς ἐρημώσεως ἔστη
" ἐν τῷ τόπῳ τῷ ἁγίῳ „ κατὰ τὴν μαρτυρίαν τῶν Γραφῶν (Δαν. θ΄. 27. καὶ Ματθ. κδ΄. 15.) διατί μὴ καὶ ἡ καινοτομία καὶ ἡ αἵρεσις ἐπὶ θρό-

νου ἁγίου; Κἀντεῦθεν πορίζεται ἐν συνόψει τὸ χαῦνον καὶ ἀβληχρὸν καὶ τῶν λοιπῶν ἐπιχειρημάτων (σελ. η΄. στιχ. 9. καὶ 11. καὶ 14.) ὑπὲρ τῆς δεσποτείας τοῦ Ἐπισκόπου τῆς Ῥώμης· εἰ μὴ γὰρ ἡ Ἐκκλησία τοῦ Χριστοῦ ἐτεθεμελίωτο ἐπὶ τῇ ἀῤῥαγῇ π έ τ ρ α τῆς ὁμολογίας τοῦ Πέτρου (ἥτις ἦν κοινὴ ἀπόκρισις ἐκ μέρους τῶν ἐρωτηθέντων Ἀποστόλων " ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; „ Ματθ. ις΄. 15.) τῆς " σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ " τοῦ ζῶντος (αὐτοθ. 16.)„ ὡς ἐξηγοῦνται ἡμῖν οἱ θεῖοι Πατέρες Ἀνατολικοί τε καὶ Δυτικοὶ, ἐπὶ σφαλερῷ ἂν ἐθεμελιοῦτο θεμελίῳ κἀπὶ τῷ Κηφᾷ αὐτῷ, μήτοιγε τῷ Πάπᾳ, ὅςτις, μετὰ τὸ ἰδιοποιηθῆναι καὶ τὰς κλεῖς τῆς Βασιλείας τῶν οὐρανῶν, ποίαν τινὰ διαχείρησιν αὐτῶν ἐποιήσατο πρόδηλον ἐκ τῆς ἱστορίας. Ἀλλὰ καὶ τὴν τοῦ τ ρ ι τ τ ο ῦ " Ποίμαινε τὰ πρόβατάμου„ σημασίαν οἵτε κοινοὶ Θεῖοι Πατέρες ἡμῶν συμφώνως διδάσκουσιν, ὅτι οὐκ ἦν προνόμιόν τι ἐπὶ τῶν λοιπῶν Ἀποστόλων τοῦ μακαρίου Πέτρου, ἥκιστα δὲ κ α ὶ τῶν διαδόχων αὐτοῦ, ἀλλ' ἁπλῆ τις ἀποκατάστασις αὐτοῦ εἰς τὴν ἀποστολὴν, ἧς ἐκπεπτωκὼς ἦν διὰ τὸ τ ρ ι τ-τ ὸ ν τ ῆ ς ἀ ρ ν ή σ ε ω ς· καὶ αὐτὸς δὴ ὁ θεῖος Πέτρος φαίνεται ἐκδεχόμενος οὕτω τὸν νοῦν τῆς τριττῆς τοῦ Κυρίου ἐρωτήσεως τοῦ, ἀ γ α π ᾶ ς μ ε, καὶ τοῦ, π λ ε ῖ ο ν καὶ τοῦ, τ ο ύ τ ω ν (Ἰωάνν. κα΄. 16.)· ἀναμνησθεὶς γὰρ τοῦ " ε ἰ κ α ὶ π ά ν-" τ ε ς σκανδαλισθήσονται ἐν σοὶ, ἐ γ ὼ δ ὲ ο ὐ-

"δέποτε σκανδαλισθήσομαι,, (§ 12.), "ἐλυπήθη ὅτι εἶπεν αὐτῷ τὸ τρίτον φιλεῖς με· ,, Ἀλλ' οἱ διάδοχοι αὐτοῦ σκοπιμωτάτως ἐκδέχονται τὴν ῥῆσιν λίαν ἐπὶ τὸ εὐθυμότερον.

§ 12. Ἀλλὰ λέγει ἡ αὐτοῦ Μακαριότης (σελ. η'. στιχ. 12.) ὅτι ὁ Κύριος ἡμῶν εἶπεν εἰς τὸν Πέτρον (Λουκ. κβ'. 32.) "ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ "ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου, καὶ σύ ποτε ἐπι-"στρέψας στήριξον τοὺς ἀδελφούς σου,,· ἡ δέησις τοῦ Κυρίου ἡμῶν ἐγένετο ἐπὶ λόγῳ, ὅτι ὁ μὲν Σατανᾶς ἐξητήσατο (αὐτοθ. 31) ἵνα σκανδαλίσῃ τὴν πίστιν ἁπάντων τῶν Μαθητῶν, ὁ δὲ Κύριος ἐπέτρεψεν αὐτῷ μόνον τὸν Πέτρον, δἰ αὐτὸ τοῦτο μάλιστα, διότι ἐφθέγγετο λόγους φιλαυτίας, καὶ ἐδικαίου ἑαυτὸν ὑπὲρ τοὺς ἄλλους (Ματθ. κϛ'. 33.) "εἰ καὶ πάντες σκανδαλισθήσονται ἐν σοὶ, ἐγὼ δὲ "οὐδέποτε σκανδαλισθήσομαι· ,, Ἀλλ' ἡ ἐπίτρεψις αὕτη ἐγένετο πρόσκαιρος, "ἤρξατο καταναθεματίζειν καὶ ὀμνύειν, ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον· ,, οὕτως ἀσθενὴς ἡ ἀνθρωπίνη φύσις ἐγκαταλιμπανομένη εἰς ἑαυτὴν,,, τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ "σὰρξ ἀσθενὴς ,, (Ματθ. κϛ'. 41.), πρόσκαιρός φαμεν, ὅπως, πάλιν ἐλθὼν εἰς ἑαυτὸν διὰ τῆς ἐπιστροφῆς αὐτοῦ ἐν δάκρυσι μετανοίας, στηρίξῃ ἔτι μᾶλλον τοὺς ἀδελφοὺς αὐτοῦ εἰς ὃν αὐτοὶ οὔτε ἐπιώρκησαν οὔτε ἠρνήθησαν. Ὦ τῶν σοφῶν κριμάτων τοῦ Κυρίου! ὡς θεία καὶ μυστηριώδης ἦν ἡ ἐπὶ γῆς ἐσχάτη νὺξ τοῦ Σωτῆρος ἡμῶν. Ὁ δεῖπνος ἐκεῖνος

НБ ОНУ імені І.І.Мечникова

ὁ ἱερὸς, αὐτὸς οὗτος πιστεύεται τελεῖσθαι καὶ τὴν σήμερον καθ' ἑκάστην " τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν " ἀνάμνησιν ,, (Λουκ. κϐ'. 19.)· Καὶ, " ὁσάκις ἂν " ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦ-" το πίνητε, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλε-" τε, ἄχρις οὗ ἂν ἔλθῃ ,, (Παῦλ. Α'.Κορινθ. ια'.26.). Ἡ οὕτως ἐπιμελῶς παραγγελλομένη ἡμῖν ὑπὸ τοῦ κοινοῦ Διδασκάλου ἀδελφικὴ ἀγάπη, " ἐν τούτῳ " γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν " ἀγάπην ἔχητε ἐν ἀλλήλοις ,, (Ἰωάνν. ιγ'. 35.), ἧς τὸ χειρόγραφον καὶ τὰς συνθήκας οἱ Πάπαι πρῶτοι ἔσχισαν, ὑπερασπιζόμενοι καὶ δεχόμενοι καινοτομίας αἱρετικὰς παρὰ τὰ εὐαγγελισθέντα ἡμῖν καὶ κανονισθέντα ὑπὸ τῶν κοινῶν Διδασκάλων καὶ Πατέρων ἡμῶν, αὐτὴ ταύτη, φαμὲν, ἡ ἀγάπη αὕτη ἐνεργεῖ καὶ τὴν σήμερον εἰς τὰς ψυχὰς τῶν χριστεπωνύμων Λαῶν, καὶ ἰδίως τῶν ἡγουμένων αὐτῶν· ὁμολογοῦμεν γὰρ παῤῥησίᾳ ἐνώπιον Θεοῦ τε καὶ ἀνθρώπων, ὅτι ἡ τοῦ Σωτῆρος ἡμῶν δέησις (σελ. ζ'. στιχ. 33.) πρὸς τὸν Θεὸν καὶ Πατέρα αὐτοῦ ὑπὲρ τῆς κοινῆς τῶν χριστιανῶν ἀγάπης καὶ ἑνότητος εἰς μίαν ἁγίαν Καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν, εἰς ἣν καὶ πιστεύομεν, " ἵνα ὦ-' σιν ἓν καθὼς καὶ ἡμεῖς ἓν ἐσμὲν,, (Ἰωανν.ιζ'.22.) ἐνεργεῖ ἐν ἡμῖν, ὡς καὶ ἐν τῇ αὐτοῦ Μακαριότητι, κἀνταῦθα συναντᾷ ἡ ἀδελφικὴ ἡμετέρα ἔφεσις καὶ σπουδὴ τὴν τῆς αὐτοῦ Μακαριότητος, ταύτῃ μόνῃ τῇ διαφορᾷ, ὅτι ἐν ἡμῖν μὲν ἐνεργεῖ ἐπὶ συνθήκῃ

НБ ОНУ імені І.І. Мечникова

τοῦ διατηρηθῆναι ἀκέραιον καὶ ἄθικτον τὸ θεῖον καὶ ἀμώμητον καὶ παντέλειον Σύμβολον τῆς τῶν χριστιανῶν Πίστεως κατὰ τὴν Εὐαγγελικὴν φωνὴν καὶ κατὰ τοὺς ὅρους τῶν ἑπτὰ ἁγίων Οἰκουμενικῶν Συνόδων, καὶ τὴν διδασκαλίαν τῆς διηνεκοῦς Καθολικῆς Ἐκκλησίας, ἐν δὲ τῇ αὐτοῦ Μακαριότητι ὑπὲρ τοῦ κραταιωθῆναι καὶ ὑπερισχῦσαι τὸ κῦρος καὶ τὸ ἀξίωμα τῶν ἐπὶ τοῦ Ἀποστολικοῦ Θρόνου καθεζομένων, καὶ τὸ τῆς καινῆς διδασκαλίας αὐτῶν. Ἰδοὺ τὸ Κεφάλαιον, ὡς τύπῳ εἰπεῖν, ἁπάσης τῆς ἐμπεσούσης διαφορᾶς καὶ διενέξεως μεταξὺ ἡμῶν τε καὶ ἐκείνων, καὶ τὸ μεσότειχον τοῦ φραγμοῦ· ὅπερ Θεοῦ προλέγοντος ἡμῖν (αὐτοθ. ι΄. 1.) "καὶ "ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς Αὐλῆς "ταύτης· κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ τῆς φω-"νῆς μου ("ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται,,) ἀ-"κούσουσι,, συμπράξει τῆς περιᾳδομένης φρονήσεως τῆς αὐτοῦ Μακαριότητος ἐλπίζομεν, ἵνα ἀρθῇ ἐκ μέσου ἐπὶ τῶν ἡμερῶν αὐτῆς. Ἤδη οὖν εἰρήσθω καὶ τὸ τρίτον· ἂν γὰρ ὑποθῶμεν, κατὰ τοὺς λόγους τῆς αὐτοῦ Μακαριότητος, καὶ αὐτὴν τὴν ὑπὲρ τοῦ μέλλοντος ἀρνηθῆναι καὶ ἐπιορκῆσαι Πέτρου δέησιν τοῦ Κυρίου ἡμῶν, ὅτι προσκεκολλημένη καὶ συνημμένη διατελεῖ εἰς τὸν θρόνον τοῦ Πέτρου, καὶ ὅτι ἀναφέρεται ἐνεργείᾳ καὶ εἰς τοὺς κατὰ καιρὸν ἐπικαθημένους, εἰ καί, καθὰ προείρηται (§. 11.), οὐδὲν συμβάλλει εἰς κύρωσιν γνώμης (ὡς ἐκ τοῦ παραδείγματος αὐτοῦ τοῦ μακαρίου Πέ-

τρου γραφικῶς πληροφορούμεθα, ἔτι καὶ μετὰ τὴν κάθοδον τοῦ ἁγίου Πνεύματος), πιστοποιούμεθα ὅμως ἐκ τῶν λόγων τοῦ Κυρίου, ὅτι ἐλεύσεται καιρὸς, καθ' ὃν ἡ θεία αὕτη, ἡ διὰ τὴν ἄρνησιν τοῦ Πέτρου, δέησις, ὅπως μὴ ἐκλείψῃ εἰς τέλος ἡ Πίστις αὐτοῦ, ἐνεργήσει καὶ εἴς τινα τῶν διαδόχων τοῦ θρόνου αὐτοῦ, ὅστις καὶ κλαύσει, ὡς ἐκεῖνος πικρῶς, καὶ ἐπιστρέψας ποτὲ στηρίξει ἡμᾶς τοὺς ἀδελφοὺς αὐτοῦ ἔτι μᾶλλον, εἰς ἣν κατέχομεν ἐκ προγόνων ὀρθόδοξον ὁμολογίαν· καὶ εἴθε! εἴη ἡ αὐτοῦ Μακαριότης οὗτος ὁ ἀληθὴς διάδοχος τοῦ μακαρίου Πέτρου. Ἀλλ' εἰς ταύτην τὴν ταπεινὴν ἡμῶν εὐχὴν μήτι κωλύει ἵνα προσθῶμεν καὶ τὴν εἰλικρινῆ ἐγκάρδιον ἡμῶν συμβουλὴν ἐν ὀνόματι τῆς Καθολικῆς ἁγίας Ἐκκλησίας; πάντως ἡμεῖς οὐ τολμῶμεν μὲν εἰπεῖν, ὡς εἶπεν (σελ. ι'. στιχ. 22.) ἡ αὐτοῦ Μακαριότης, " ἄνευ ἄλλης ἀναβολῆς· ,, λέγομεν δὲ ἄνευ ἐπισπεύσεως, μετὰ ὥριμον σκέψιν, ἔτι, εἰ δεήσει, καὶ σύσκεψιν μετὰ τῶν σοφωτέρων, τῶν εὐλαβεστέρων τε ἅμα καὶ φιλαληθεστέρων, καὶ δὴ καὶ ἀπροληπτοτέρων Ἐπισκόπων καὶ Θεολόγων καὶ Διδασκάλων, ὧν πᾶν ἔθνος τῆς Δύσεως κατὰ θείαν οἰκονομίαν τὴν σήμερον εὐμοιρεῖ.

§ 13. Λέγει ἡ αὐτοῦ Μακαριότης, ὅτι ὁ Ἐπίσκοπος Λουγδούνων ἅγιος Εἰρηναῖος γράφει εἰς ἔπαινον τῆς Ῥωμαϊκῆς Ἐκκλησίας, " δεῖ συνέργε-
" σθαι πᾶσαν τὴν Ἐκκλησίαν, δηλονότι τοὺς παν-
" ταχόθεν πιστοὺς, ἕνεκα τοῦ πρωτείου ἐν ταύτῃ τῇ

" Ἐκκλησία, ἐν ᾗ πάντα ὑπὸ τῶν πανταχόθεν
" πιστῶν διετηρήθη ἡ παρὰ τῶν Ἀποστόλων δο-
" θεῖσα παράδοσις. „ Καίτοι τοῦ ἁγίου τούτου λέγοντος πάντη ἄλλο, ἢ ὅ,τι στοχάζονται οἱ Οὐατικανοί, ἀλλ' ἀφίεται μὲν ἤδη αὐτοῖς καὶ ἡ κατ' ἀρέσκειαν αὐτῶν ἐκδοχὴ καὶ ἑρμηνεία, φαμὲν δὲ τίς ἀρνεῖται, ὅτι ἡ ἀρχαία Ῥωμαϊκὴ Ἐκκλησία ἦν Ἀποστολικὴ καὶ ὀρθόδοξος; καὶ οὐδεὶς ἡμῶν ὀκνήσει εἰπεῖν αὐτὴν καὶ ὑπογραμμὸν Ὀρθοδοξίας· μάλισθ' ἡμεῖς εἰς μείζονα ἔπαινον αὐτῆς προσθήσομεν ἐκ τοῦ ἱστορικοῦ Σωζομένου (Ἱστορ. Ἐκκλησ. Βιβ. Γ'. κεφ. ιβ'.) καὶ τὸν τρόπον, δι' οὗ ἄχρι καιροῦ ἐδυνήθη διατηρῆσαι τὴν ἣν ἐπαινοῦμεν αὐτῆς Ὀρθοδοξίαν, ὃν παρέδραμε ἡ αὐτοῦ Μακαριότης· " ὡς
" ἐπίπαν γὰρ ἡ μὲν ἀνὰ πᾶσαν τὴν Δύσιν Ἐκ-
" κλησία καθαρῶς διὰ τῶν Πατρίων ἰ-
" θυνομένη Δογμάτων, ἔριδός τε καὶ τῆς
" περὶ ταῦτα τερθρείας ἀπήλλακτο· „ ἢ τίς ἐκ τῶν πατέρων, ἢ ἐξ ἡμῶν αὐτῶν ἠρνήθη τὰ κανονικὰ Πρεσβεῖα αὐτῆς ἐν τῇ τάξει τῆς Ἱεραρχίας, ἕως οὗ καθαρῶς ἰθύνετο διὰ τῶν Πατρίων δογμάτων, στοιχοῦσα τῷ ἀλανθάστῳ κανόνι τῆς τε Γραφῆς καὶ τῶν ἱερῶν Συνόδων; Ἀλλὰ τό γε νῦν ἡμεῖς οὐχ εὑρίσκομεν διατετηρημένον ἐν αὐτῇ οὔτε τὸ Δόγμα τῆς Μακαρίας Τριάδος κατὰ τὸ Σύμβολον τῶν ἐν Νικαίᾳ τῆς Α'. καὶ ἐν Κωνσταντινουπόλει τῆς Β'. συναθροισθέντων θείων Πατέρων, ὅπερ ὡμολόγησαν καὶ ἐκύρωσαν

НБ ОНУ імені І.І. Мечникова

καὶ εἰς τοσαύτας ἀρὰς τοὺς παραχαράττοντας αὐτὸ μέχρι κεραίας, ὡς καθῃρημένους, καθυπέβαλλον αἱ λοιπαὶ πέντε Οἰκουμενικαὶ Σύνοδοι, οὔτε τὸν Ἀποστολικὸν τύπον τοῦ θείου Βαπτίσματος, οὔτε τὴν ἐπίκλησιν τοῦ τελεταρχικοῦ Πνεύματος ἐπὶ τῶν Ἁγίων, ἀλλ' ὁρῶμεν ἐν αὐτῇ καὶ τὸ θεῖον Ποτήριον περιττὴν, ἄπαγε! πόσιν ὑπολαμβανόμενον, καὶ ἕτερα πάμπολλα, ἄγνωσταοὐ μόνον εἰς τοὺς ἡμετέρους ἁγίους Πατέρας, οἵτινες ἀείποτε ἐχρημάτισαν ὁ καθολικὸς ἀλάνθαστος κανὼν καὶ γνώμων τῆς Ὀρθοδοξίας, καθὰ καὶ ἡ αὐτοῦ Μακαριότης τὴν ἀλήθειαν σεβομένη διδάσκει (σελ.β΄.),ἀλλὰ καὶ εἰς τοὺς ἱεροὺς ἀρχαίους Πατέρας τῆς Δύσεως· καὶ δὴ καὶ αὐτὸ τὸ Πρωτεῖον, ὑπὲρ οὗ νῦν πυκτεύει καὶ ἡ αὐτοῦ Μακαριότης πάσαις δυνάμεσιν, ὡς καὶ οἱ Προκάτοχοι αὐτοῦ, ἐξ ἀδελφικοῦ τύπου καὶ Πρεσβείου Ἱεραρχικοῦ εἰς Κυριαρχικὸν μεταπεπτωκός. Τί οὖν ὑποληπτέον περὶ τῶν ἀγράφων αὐτῆς παραδόσεων, εἴγε τὰ γεγραμμένα τοσαύτην ὑπέστησαν μεταβολὴν καὶ ἀλλοίωσιν ἐπὶ τὸ χεῖρον; ἢ τίς ποτε οὕτω θαρσαλέος καὶ πίσυνος εἰς τὸ ἀξίωμα τοῦ Ἀποστολικοῦ Θρόνου, ὥστε τολμῆσαι εἰπεῖν, ὅτι, εἴπως ἀνεβίου ὁ ἐν ἁγίοις Πατὴρ ἡμῶν Εἰρηναῖος, ὁρῶν σήμερον αὐτὴν εἰς τηλικαῦτα οὐσιωδέστατα καὶ καθολικὰ ἄρθρα τοῦ χριστιανισμοῦ ἀποσχιζομένην τῆς ἀρχαίας καὶ πρωτογόνου Ἀποστολικῆς διδασκαλίας, οὐκ ἔμελλεν ἀντιπαραταχθῆναι αὐτὸς πρῶτος εἰς τὰς καινοτομίας καὶ αὐτοδοκήτους

διατάξεις αὐτῆς, τῆς τότε δικαίως ὑμνουμένης ὑπ' αὐτοῦ ῥωμαϊκῆς Ἐκκλησίας, ὡς καθαρῶς ἰθυνομένης διὰ τῶν πατρίων Δογμάτων; Παραδείγματος χάριν, ὁρῶν τὴν ῥωμάναν Ἐκκλησίαν οὐ μόνον ἐκ τοῦ ἑαυτῆς λειτουργικοῦ Κανόνος ἀποβαλοῦσαν, καθ' ὑπαγόρευσιν τῶν σχολαστικῶν, τὴν παναρχαιοτάτην καὶ Ἀποστολικὴν ἐπίκλησιν τοῦ τελεταρχικοῦ Πνεύματος, καὶ κολοβώσασαν οἰκτρῶς τὴν Ἱερουργίαν εἰς τὸ οὐσιωδέστατον αὐτῆς μέρος, ἀλλὰ σπουδάζουσαν συντόνως, ἵνα καὶ ἀπὸ τῶν λειτουργιῶν τῶν λοιπῶν χριστιανικῶν κοινωνιῶν ἀποξέσῃ αὐτὴν, συκοφαντοῦσα, οὕτως ἀναξίως τοῦ Ἀποστολικοῦ Θρόνου, εἰς ὃν ἐγκαυχᾶται, ὅτι " μετὰ τὴν διαίρεσιν παρεισέπεσε ,, (σελ. ια΄. στιχ. 11.), τί οὐκ ἂν εἶπε περὶ τούτου τοῦ νεωτερισμοῦ οὗτος ὁ θεῖος Πατὴρ; ὁ βεβαιῶν ἡμᾶς (Εἰρην. Βιβ. δ΄. κεφ. 34. ἐκδ. Mass uet 18.) " ὅτι ὁ ἀπὸ γῆς ἄρτος, προσλαμβανόμενος τὴν " ἔκκλησιν τοῦ Θεοῦ, οὐκ ἔτι κοινὸς ἄρτος " ἐστὶ,, κ.τ.λ. ἔκκλησιν λέγων τὴν ἐπίκλησιν· δι' ἧς τελειοῦσθαι τὸ Μυστήριον τῆς ἱερουργίας πιστεύειν τὸν Εἰρηναῖον, καὶ αὐτὸς ὁ ἐκ τοῦ τάγματος τῶν Ἐλασσόνων λεγομένων Παπικῶν Μοναχῶν Φραγκῖσκος Φευ—Ἀρδέντιος, ὁ κατὰ τὸ 1639, ἐκδοὺς μετὰ σχολείων τὰ συγγράμματα τοῦ αὐτοῦ ἁγίου, ἐσημειώσατο ἰδίως ἐν τῷ 18. κεφ. τοῦ α΄. Βιβ σελ. 114. Panem et calycem commixtum per invocationis verba corpus et sanguinem Christi vere fieri

" ( τὸν Εἰρηναῖον διδάσκειν ) τὸν ἄρτον τῆς εὐ-
" χαριστίας, καὶ τὸ κεκραμένον Ποτήριον διὰ τῶν
" τῆς ἐπικλήσεως ῥημάτων γίγνεσθαι ἀλη-
" θῶς σῶμα καὶ αἷμα Χριστοῦ;,, ἀκούων δὲ τὸ το-
ποτηρητικὸν τοῦ Πάπα καὶ τὸ διαιτητικόν, τί οὐκ ἂν εἴποι αὐτός, ὃς ἔτι καὶ διὰ μικρὰν καὶ σχεδὸν ἀδιάφορον διένεξιν περὶ τῆς τελετῆς τοῦ Πάσχα (Εὐσεβ. Ἐκκλ. Ἱστορ. Ε΄.26.), οὕτω γενναίως καὶ θριαμβευτικῶς ἀντιπαρακελεύων περιέστειλε τὴν τοῦ Πάπα Βίκτορος βίαν ἐν τῇ ἐλευθέρα Ἐκκλησία τοῦ Χριστοῦ; οὕτως αὐτὸς ὁ ὑπὸ τῆς αὐτοῦ Μακαριότητος προσκαλούμενος μάρτυς τοῦ πρωτείου τῆς ῥωμάνας Ἐκκλησίας, δείκνυσιν, ὅτι τὸ ἀξίωμα αὐτῆς οὐ κυριαρχικόν, οὔτε μὴν διαιτητικόν, ὅπερ οὐδ' αὐτὸς ὁ μακάριος Πέτρος οὐδέποτε ἐκληρώσατο, ἀλλ' ἀδελφικὸν τυγχάνει πρεσβεῖον ἐν τῇ Καθολικῇ Ἐκκλησία, καὶ γέρας ἀπονεμηθὲν τοῖς Πάπαις διὰ τὸ μεγαλώνυμον καὶ πρεσβεῖον τῆς Πόλεως. Ὡς καὶ ἡ Τετάρτη Οἰκουμενικὴ Σύνοδος, ἐπὶ διατηρήσει τῆς ὑπὸ τῆς Τρίτης Οἰκουμενικῆς Συνόδου κανονισθείσης (Καν. Η΄.) ἀνεξαρτησίας τῶν Ἐκκλησιῶν, ἑπομένη τῇ Δευτέρα Οἰκουμενικῇ (Καν. Γ΄.), καὶ αὐτῇ πάλιν τῇ Πρώτῃ Οἰκουμενικῇ (Καν. ς΄.) τῇ τὴν ἐπὶ Δυσμὰς διαιτητικὴν τοῦ Πάπα Κυριαρχίαν Ἔθος ἀποκαλούσῃ, ἀπεφήνατο " Διὰ τὸ βασιλεύειν τὴν Πόλιν ἐκείνην οἱ Πα-
" τέρες εἰκότως ἀποδεδώκασι τὰ Πρεσβεῖα ,,
(Καν. ΚΗ΄.), μηδὲν εἰποῦσα περὶ τῆς ἐξιδιασμένης

Ἀποστολικῆς αὐτῶν ἀποῤῥοίας ἐκ τοῦ Πέτρου, καὶ ἥττον πάντων περί τε τοῦ τοποτηρητικοῦ τῶν Ἐπισκόπων αὐτῆς καὶ τῆς καθολικῆς Ποιμαντορίας. Ἡ δὲ τοιαύτη βαθεῖα σιγὴ τῶν τηλικούτων προνομίων, οὐ μόνον δὲ ἀλλὰ καὶ ἡ τῆς προτερεύσεως αὐτῶν αἰτιολογία, οὐχὶ διὰ τὸ, " ποίμαινε τὰ πρόβατά μου, ,, οὐδὲ διὰ τὸ, " ἐπὶ ταύτῃ τῇ πέτρᾳ " οἰκοδομήσω μου τὴν Ἐκκλησίαν· ,, ἀλλ' ἁπλῶς διὰ τὸ ἔθος, καὶ διὰ τὸ βασιλεύειν τὴν πόλιν ἐκείνην, καὶ ταῦτα οὐχ ὑπὸ τοῦ Κυρίου, ἀλλ' ὑπὸ τῶν Πατέρων, τοσοῦτον παράδοξος φανήσεται, πεπείσμεθα, εἰς τὴν αὐτοῦ Μακαριότητα, ἄλλως πως λογιζομένην τὰ Πρεσβεῖα Αὐτῆς (σελ. 8. στιχ. 16), ὅσον Αὐτός τε, ὡς ὀψόμεθα (§ 15.) μεγάλως ἐκτιμᾷ τὴν ἣν νομίζει εὑρηκέναι ὑπὲρ τοῦ θρόνου Αὐτοῦ μαρτυρίαν τῆς ῥηθείσης Οἰκουμενικῆς Τετάρτης Συνόδου, καὶ ὁ θεῖος Γρηγόριος ὁ Διάλογος, ὁ καὶ Μέγας ἀκούων, (βιβ. Α΄. Ἐπ. 25) εἴθιζε λέγειν τὰς τέσσαρας ταύτας Οἰκουμενικὰς Συνόδους, οἱονεὶ τέσσαρα Εὐαγγέλια καὶ τετραγωνιαῖον λίθον, ἐφ' οὗ ᾠκοδόμηται ἡ Καθολικὴ Ἐκκλησία.

§ 14. Λέγει ἡ αὐτοῦ Μακαριότης (σελ. ι΄. στιχ. 12.) ὅτι οἱ Κορίνθιοι διενεχθέντες πρὸς ἀλλήλους ἀναφορὰν ἐποιήσαντο εἰς Κλήμεντα τὸν Πάπαν Ῥώμης, ὃς κρίνας τὴν ὑπόθεσιν ἔγραψε πρὸς αὐτούς· οἱ δὲ οὕτως ἠσπάσαντο τὴν ἀπόφασιν αὐτοῦ, ὥστε καὶ ἐπ' Ἐκκλησίας ἀνεγίνωσκον αὐτήν. Ἀλλὰ

НБ ОНУ імені І.І.Мечникова

τοῦτο τὸ συμπεσὸν πολλὰ ἀσθενὲς ἐπιχείρημα τῆς Παπικῆς ἐξουσίας ἐν τῷ Οἴκῳ τοῦ Θεοῦ· τότε γὰρ οὔσης κέντρου τῆς Διοικήσεως, καὶ πρωτευούσης τῆς Ῥώμης, ἐν ᾗ διητῶντο οἱ Αὐτοκράτορες, ἔδει πᾶσαν ὑπόθεσιν ὁπωσοῦν ἐπίσημον, οἵα ἱστόρηται ἡ τῶν Κορινθίων, ἐκεῖ διακρίνεσθαι, μάλιστα εἴπως ἓν τῶν διαφερομένων μερῶν προσέτρεχεν εἰς ἐξωτερικὴν σύμπραξιν· οὕτω συμβαίνει καὶ μέχρι τῆς σήμερον. Οἱ Πατριάρχαι τῆς Ἀλεξανδρείας, τῆς Ἀντιοχείας, τῶν Ἱεροσολύμων εἰς τὰ παραδόξως συμπεσόντα, καὶ δυσδιευθέτητα γράφουσιν εἰς τὸν Κωνσταντινουπόλεως, διὰ τὸ εἶναι ἕδραν Αὐτοκρατορικὴν, ἔτι δὲ καὶ διὰ τὸ Συνοδικὸν Πρεσβεῖον· καὶ εἰ μὲν ἡ ἀδελφικὴ σύμπραξις διορθώσει τὸ διορθωτέον, εὖ ἔχει· εἰ δὲ μὴ, ἀναγγέλλεται τὸ πρᾶγμα καὶ εἰς τὴν Διοίκησιν κατὰ τὰ καθεστῶτα. Ἀλλ' αὕτη ἡ ἀδελφικὴ συνδρομὴ, ἔν γε τῇ χριστιανικῇ πίστει, οὐ πωλεῖται διὰ τῆς ὑποδουλώσεως τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ. Ταῦτα εἰρήσθω καὶ εἰς τὰ ἐκ τῶν ἁγίων Ἀθανασίου τοῦ Μεγάλου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου ἀναφερόμενα (σελ. θ'. στιχ. 5. 17.) ὑπὸ τῆς αὐτοῦ Μακαριότητος παραδείγματα προστασίας ἀδελφικῆς καὶ πρεπούσης εἰς τὰ πρεσβεῖα τῶν Ἐπισκόπων Ῥώμης Ἰουλίου τε καὶ Ἰννοκεντίου, ἧς τὴν ἀπότισιν ἀπαιτοῦσιν ἀφ' ἡμῶν τὴν σήμερον οἱ διάδοχοι ἐκείνων διὰ τῆς νοθεύσεως τοῦ θείου Συμβόλου· καίτοι τοῦ Ἰουλίου αὐτοῦ ἐν τοῖς τότε ἀγανακτοῦντος κα-

НБ ОНУ імені І.І.Мечникова

τά τινων ὅτι "τὰς Ἐκκλησίας ταράσσουσι τῷ μὴ "ἐμμένειν τοῖς ἐν Νικαίᾳ δόξασι,, (Σωζ. Ἱστορ. Ἐκκλ. Βιβ. Γ'. Κεφ. 7.) καὶ ἀπει-" λοῦντος (αὐτόθ.)..."ἢ τοῦ λοιποῦ οὐκ ἀνέξασθαι, "εἰ μὴ παύσοιντο νεωτερίζοντες,,, Ἔτι ἐν τῇ ὑποθέσει τῶν Κορινθίων σημειωτέον καὶ τοῦθ' ὅτι, τότε ὄντων τριῶν μόνων τῶν Πατριαρχικῶν θρόνων, ὁ πλησιέστερος τοῖς Κορινθίοις καὶ θεματικώτερος ἦν ὁ Ῥώμης, πρὸς ὃν καὶ ὤφειλον ἀνενεχθῆναι κανονικῶς. Οὐδὲν οὖν ἐν αὐτοῖς συνορῶμεν τὸ ἔκτακτον καὶ τὸ τὴν τοῦ Πάπα δεσποτείαν σημαῖνον ἐν τῇ ἐλευθέρᾳ Ἐκκλησίᾳ τοῦ Θεοῦ.

§ 15. Ἀλλά, τέλος, λέγει (σελ. τῇ αὐτ. στιχ. 20) ἡ αὐτοῦ Μακαριότης, ὅτι ἡ τετάρτη Οἰκουμενικὴ Σύνοδος (ἣν κατὰ παραδρομὴν πάντως μεταφέρει ἀπὸ Χαλκηδόνος εἰς Καρχηδόνα) ἀναγνωσθείσης τῆς Ἐπιστολῆς Πάπα Λέοντος τοῦ Α'.,, ἐβόησεν. "Ὁ Πέτρος διὰ τοῦ Λέοντος οὕτως ὡ-" μίλησε. ,, τὸ πρᾶγμα ἀληθῶς οὕτως ἔχει. Ἀλλ' ὤφειλε μὲν ἡ αὐτοῦ Μακαριότης μὴ παραδραμεῖν καὶ τὸ πῶς, καὶ μετὰ ποίαν ἐξεργασίαν οἱ Πατέρες ἡμῶν ἐβόησαν τὸ, ὅπερ ἐβόησαν εἰς ἔπαινον τοῦ Λέοντος. Ἐπειδὴ δὲ ἐκείνη, ἴσως συντομίαν σπουδάζουσα, ἐλλιπὴς φαίνεται εἰς τὸ ἀναγκαιότατον τοῦτο, καὶ τὸ ἀξίωμα τῆς Οἰκουμενικῆς Συνόδου ἡλίκον ἀνώτερον εἶναι οὐ μόνον τοῦ Πάπα, ἀλλὰ καὶ τῆς περὶ αὐτὸν Συνόδου πασιδήλως ἐμφαῖνον, φέρε, ἡμεῖς δηλώσωμεν εἰς τὸ κοινὸν τὸ γε-

γονὸς, ὡς ἀληθῶς ἐγένετο· Ἐκ τῶν πλέον ἢ ἑξακοσίων Πατέρων τῶν ἐν τῇ Συνόδῳ τῆς Χαλκηδόνος συναθροισθέντων, διακόσιοι περίπου οἱ σοφώτεροι αὐτῶν διετάχθησαν ὑπὸ τῆς Συνόδου, ἵνα ἐξετάσωσι καὶ κατὰ γράμμα, καὶ κατὰ νόημα τὴν ῥηθεῖσαν Ἐπιστολὴν τοῦ Λέοντος, οὐ μόνον δὲ, ἀλλ' ἵνα ἀναφέρωσι καὶ ἐγγράφως καὶ ἐνυπογράφως τὴν ἰδίαν αὐτῶν κρίσιν ἐπ' αὐτῆς, ἐὰν ὑπάρχῃ ὀρθόδοξος, ἢ μή· αἱ κατὰ μέρος διακόσιαι περίπου ἐπικρίσεις καὶ δοκιμασίαι τῆς Ἐπιστολῆς εὑρίσκονται ἐν τῇ τετάρτῃ μάλιστα Συνελεύσει τῆς ῥηθείσης ἱερᾶς Συνόδου τοιᾶδε τινὶ περιοχῇ. Παρ. χ.

" Μάξιμος Ἀντιοχείας Συρίας εἶπε· Συνάδει ἡ Ἐπιστολὴ τοῦ ἁγίου Ἀρχιεπισκόπου τῆς Βασιλευούσης Ῥώμης Λέοντος τοῖς ἐκτεθεῖσι παρὰ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἐν Νικαίᾳ ἁγίων Πατέρων, καὶ τῶν ἑκατὸν πεντήκοντα τῶν ἐν Κωνσταντινουπόλει τῇ νέᾳ Ῥώμῃ, καὶ τῇ ἐν Ἐφέσῳ παρὰ τοῦ ἁγιωτάτου Ἐπισκόπου Κυρίλλου ἐκτεθείσῃ πίστει· καὶ ὑπεσημηνάμην. „

— Καὶ πάλιν.

" Θεοδώρητος ὁ εὐλαβέστατος Ἐπίσκοπος Κύρου· Συνάδει ἡ Ἐπιστολὴ τοῦ ἁγιωτάτου Ἀρχιεπισκόπου τοῦ κυρίου Λέοντος τῇ ἐν Νικαίᾳ ἐκτεθείσῃ πίστει παρὰ τῶν ἁγίων καὶ μακαρίων Πατέρων, καὶ τῷ ἐν Κωνσταντινουπόλει ὑπαγορευθέντι παρὰ τῶν ἑκατὸν πεντήκοντα Συμβόλῳ τῆς Πίστεως

καὶ ταῖς Ἐπιστολαῖς τοῦ μακαρίου Κυρίλλου· καὶ ὑποδεξάμενος τὴν προῤῥηθεῖσαν Ἐπιστολὴν ὑπέγραψα. „

Καὶ οὕτω καθεξῆς ἅπαντες ὁμολογοῦσι· "συνάδει " ἡ Ἐπιστολὴ, „ " σύμφωνός ἐστιν ἡ Ἐπιστολὴ, „ " συμφωνεῖ ἡ Ἐπιστολὴ, ὅσον τὸ κατ᾽ ἔννοιαν „ κ.τ.λ. μετὰ τοσαύτην καὶ τηλικαύτην ἀκριβῆ ἐξέτασιν ἐκ παραλλήλου πρὸς τὰς προτέρας ἱερὰς Συνόδους, καὶ πληροφορίαν πλήρη τῆς ὀρθότητος τῶν ἐννοιῶν, καὶ οὐχ ὅτι ἦν ἁπλῶς Ἐπιστολὴ τοῦ Πάπα, ἐβόησαν, μηδαμῶς φθονοῦντες, τοῦτο δὴ τὸ περιβόητον, εἰς ὃ καυχωμένη νῦν σεμνύνεται καὶ ἡ αὐτοῦ Μακαριότης. Ἀλλ᾽ εἴπερ καὶ ἡ αὐτοῦ Μακαριότης ἔπεμπεν ἡμῖν τὰ ταῖς προτέραις ἁγίαις ἑπτὰ Οἰκουμενικαῖς Συνόδοις σύμφωνα καὶ συνάδοντα, ἀντὶ τοῦ καυχᾶσθαι εἰς τὴν τῶν Προκατόχων αὐτῆς κηρυττομένην ὑπὸ τῶν Προκατόχων καὶ Πατέρων ἡμῶν ἐπὶ Οἰκουμενικῆς Συνόδου εὐσέβειαν, εἶχεν ἂν καυχᾶσθαι δικαίως ἐπὶ τῇ ἰδίᾳ αὐτῆς Ὀρθοδοξίᾳ: ἀντὶ πατραγαθιῶν δηλαδὴ, ἀνδραγαθίας κηρύττουσα· ὥστε ἐπὶ τῇ αὐτοῦ Μακαριότητι κεῖται καὶ νῦν, ἐὰν ἐπιστείλῃ τοιαῦτα, οἷα διακόσιοι Πατέρες ἐξετάσαντες καὶ συγκρίναντες εὕρωσι σύμφωνα καὶ συνάδοντα ταῖς ῥηθείσαις προτέραις Συνόδοις, ἐπ᾽ αὐτῇ, φαμὲν, κεῖται ἵνα ἀκούσῃ καὶ παρ᾽ ἡμῶν τῶν ἁμαρτωλῶν τὴν σήμερον οὐ μόνον τὸ, " ὁ Πέτρος οὕτως ὡμίλησε, „ καὶ εἴτι ἕτερον σεμνὸν, ἀλλὰ καὶ τὸ, ἀσπασθήτω ἡ

ἁγία χεὶρ ἡ ἀπομάξασα τὰ δάκρυα τῆς Καθολικῆς Ἐκκλησίας.

§ 16. Καὶ πάντως ἐκ τῆς περινοίας τῆς αὐτοῦ Μακαριότητος ἐξῆν ἀπεκδέχεσθαι τηλικοῦτον ἔργον ἄξιον τοῦ γνησίου διαδόχου τοῦ μακαρίου Πέτρου, τῶν Λέοντος τοῦ Α΄. καὶ Λέοντος τοῦ Γ΄. τοῦ ἐπὶ προφυλακῇ τῆς ὀρθοδόξου Πίστεως χαράξαντος τὸ θεῖον Σύμβολον ἀκαινοτόμητον ἐπὶ ἀσπίδων ἀκαταμαχήτων, ἔργον, ὃ συνάψει τὰς Ἐκκλησίας τῆς Δύσεως τῇ Καθολικῇ ἁγίᾳ Ἐκκλησίᾳ, ἐν ᾗ καὶ ἡ κανονικὴ Πρωτοκαθεδρεία τῆς αὐτοῦ Μακαριότητος, καὶ αἱ Ἕδραι ἁπάντων τῶν Ἐπισκόπων τῆς Δύσεως κεναὶ καὶ ἕτοιμαι διατελοῦσιν· ἡ γὰρ Καθολικὴ Ἐκκλησία ἀπεκδεχομένη πάντως τὴν ἐπιστροφὴν τῶν ἀποστατησάντων Ποιμένων μετὰ τῶν Ποιμνίων αὐτῶν, οὐ διορίζει ψιλῷ τῷ ὀνόματι ἐπὶ τῆς τῶν ἄλλων ἐνεργείᾳ κυριότητος παρεισάκτους, καπηλεύουσα τὴν Ἱερωσύνην. Καὶ δὴ ἀπεξεδεχόμεθα " λόγον παρακλή-" σεως „ καὶ ἠλπίζομεν αὐτόν, ὡς ἔγραφεν ὁ ἅγιος Βασίλειος πρὸς τὸν ἅγιον Ἀμβρόσιον Ἐπίσκοπον Μεδιολάνων (Ἐπιστ. νε΄.), " ἀνανεῶσαι τὰ ἀρ-" χαῖα τῶν Πατέρων ἴχνη· „ ὅτε οὐκ ἄνευ μεγάλης ἐκπλήξεως ἡμετέρας ἀνέγνωμεν τὴν ῥηθεῖσαν πρὸς τοὺς ἀνατολικοὺς ἐγκύκλιον, ἐν ᾗ ὁρῶμεν πόνῳ ἀπαραμυθήτῳ ψυχῆς καὶ τὴν αὐτοῦ ἐπὶ συνέσει ἐπαινουμένην Μακαριότητα, ὡς καὶ τοὺς ἀπὸ τοῦ σχίσματος Προκατόχους αὐτῆς, ῥήματα λα-



НБ ОНУ імені І.І.Мечникова

λοῦσαν νοθεύσεως: ἤτοι παρεγγραφὴν τοῦ ἀμωμήτου ἱεροῦ ἡμῶν Συμβόλου, σφραγισθέντος ἤδη ὑπὸ τῶν Οἰκουμενικῶν Συνόδων· παραβίασιν τῶν ἱερῶν λειτουργιῶν, ὧν μόνον ἡ οὐρανία ὑφή, καὶ τὰ τῶν συνταξαμένων ὀνόματα, καὶ ὁ Πῖνος τῆς γεραρᾶς ἀρχαιότητος, καὶ τὸ ἀποδοθὲν κῦρος ὑπὸ τῆς ἑβδόμης Οἰκουμενικῆς Συνόδου (Πραξ. ϛʹ.) ἀπενάρκωσεν ἂν καὶ παλινδρομῆσαι ἐποίησε καὶ τὴν ῥαπίσασαν τὸν Κύριον τῆς Δόξης ἱερόσυλον καὶ πάντολμον χεῖρα· ἐξ ὧν εἰκάσαμεν εἰς ἡλίκον ἀδιεξίτητον λαβύρινθον βλάβης, καὶ ἀδιόρθωτον ἁμαρτάδα ἀνακυκλήσεως, ἐνέβαλεν ὁ Παπισμὸς ἔτι καὶ τοὺς συνετωτέρους καὶ εὐλαβεστέρους Ἐπισκόπους τῆς Ῥωμαϊκῆς Ἐκκλησίας, ὥστε μὴ δύνασθαι ἄλλως ποιεῖν αὐτοὺς εἰς διατήρησιν τοῦ ἀναμαρτήτου, καὶ ἐπομένως τοῦ σπουδαζομένου τοποτηρητικοῦ ἀξιώματος, καὶ τοῦ Δεσποτικοῦ Πρωτείου μετὰ τῶν ἐπακολούθων αὐτῷ, ἢ κατορχεῖσθαι μὲν καὶ τῶν θειοτάτων καὶ ἀθίκτων, τολμᾶν δὲ κατὰ πάντων ὁμόσε καὶ ταῦτα λόγῳ μὲν ἐπενδυομένους εὐλάβειαν " τῆς ἀξιοσεβάστου ἀρχαιότητος (σελ. ιαʹ. " στιχ. 16.),, πράγματι δὲ μένει ἔνδον ὁ νεωτερικὸς θυμὸς ἀμείλικτος κατὰ τῆς Ἁγιότητος ἐν τῷ λέγειν, " ὀφείλουν νὰ ἀπεῤῥιφθῶσιν ἀπὸ ταύ" τας, ὅσα μετὰ τὴν διαίρεσιν!! παρείσπεσαν εἰς " αὐτὰς κ.τ.λ. ,, (αὐτοθ. στιχ. 11.) μιγνύντας οὕτω καὶ μέχρι τοῦ Δεσποτικοῦ Δείπνου τὸν ἰὸν τοῦ νεωτερισμοῦ. Καὶ δοκεῖ ἐκ τῶν λόγων τούτων, ὡς

НБ ОНУ імені І.І. Мечникова

ἡ αὐτοῦ Μακαριότης ὑπολαμβάνει, ὅτι καὶ ἐν τῇ ὀρθοδόξῳ Καθολικῇ Ἐκκλησίᾳ συνέβη ὅ,τι σύνοιδε συμβὰν καὶ εἰς τὴν τῆς Ῥώμης μετὰ τὸν Παπισμόν: ἤτοι ἀλλοίωσις καθάπαξ εἰς ἅπαντα τὰ μυστήρια, καὶ διαφθορὰ ἐπὶ σχολαστικῇ τερθρείᾳ, εἰς ἣν θαῤῥῶν ἀρκεῖται εἰς ὁμοιοπάθειαν καὶ τῶν ἡμετέρων ἱερῶν Λειτουργιῶν καὶ Μυστηρίων καὶ Δογμάτων, πάντοτε ὅμως εὐλαβουμένη " τὴν ἀξιοσέ-" βαστον αὐτῶν ἀρχαιότητα,, ! καί, διὰ συγκατάβασιν πάντως Ἀποστολικήν! χωρίς, ὡς λέγει (σελ. ια'. στιχ. 5.), " νὰ θλίψῃ ἡμᾶς μὲ σκληράν " τινα προγραφήν,, ! ἐκ τοιαύτης ἀγνοίας τῶν καθ' ἡμᾶς Ἀποστολικῶν καὶ καθολικῶν διαιτημάτων, προῆλθε πάντως καὶ ἡ ἑτέρα αὐτῆς ἀπόφανσις (σελ. 7 στιχ. 22.). " Ἀλλ' οὔτε μεταξὺ ὑμῶν ἠδυ-" νήθη νὰ διατηρηθῇ ἡ τῆς διδασκαλίας καὶ τῆς " ἱερᾶς Ἐπιστασίας ἑνότης,, ἀποδιδούσης παραδόξως τὸ οἰκεῖον πάθημα εἰς ἡμᾶς, ὥς ποτε καὶ ὁ Πάπας Λέων ὁ ἔννατος ἔγραφε πρὸς τὸν ἐν μακαρίοις Μιχαὴλ τὸν Κηρουλάριον, ἐγκαλῶν τοὺς Γραικοὺς ὡς μεταβαλόντας τὸ Σύμβολον τῆς Καθολικῆς Ἐκκλησίας, μηδαμῶς αἰδούμενος μήτε τὸ ἀξίωμα αὐτοῦ, μήτε τὴν Ἱστορίαν. Ἀλλὰ πεπείσμεθα ὅτι, ἂν ἡ αὐτοῦ Μακαριότης ἀνακαλέσῃ εἰς μνήμην τὴν Ἐκκλησιαστικὴν ἀρχαιολογίαν καὶ ἱστορίαν, τὴν διδασκαλίαν τῶν θείων Πατέρων, καὶ τὰς ἀρχαίας λειτουργίας τῆς Γαλλίας, τῆς Ἱσπανίας, καὶ τὸ Εὐχολόγιον τῆς

ἀρχαίας Ῥωμαϊκῆς Ἐκκλησίας, ἐν ἐκπλήξει γενήσεται, μανθάνουσα πόσας μὲν ἄλλας τερατώδεις θυγατέρας ἐγέννησεν ἐν τῇ Δύσει ὁ Παπισμὸς, ἔτι καὶ νῦν ζώσας, ἐνῷ ἡ Ὀρθοδοξία ἐτήρησε τὴν Καθολικὴν Ἐκκλησίαν ἄφθορον νύμφην τῷ νυμφίῳ αὐτῆς παρ' ἡμῖν, καίτοι μηδεμίαν μὲν ἔχουσιν ἀστυνομίαν κοσμικὴν, ἢ ὡς λέγει ἡ αὐτοῦ Μακαριότης (σελ. 7. στιχ. 23.) " ἱερὰν ἐπιστασίαν, ,, μόνῳ δὲ τῷ συνδέσμῳ τῆς ἀγάπης, καὶ τῷ φίλτρῳ πρὸς τὴν κοινὴν μητέρα συνεχομένοις ἐν ἑνότητι Πίστεως ἐσφραγισμένης, ταῖς ἑπτὰ σφραγῖσι τοῦ Πνεύματος (Ἀποκ. ε'. 1), ἤτοι ταῖς ἑπτὰ Οἰκουμενικαῖς Συνόδοις, καὶ ἐν ὑπακοῇ ἀληθείας· πόσα δὲ " ὀ- " φείλουν ἀληθῶς νὰ ἀποῤῥιφθῶσιν ἀπὸ τὰ σημε- " ρινὰ παπικὰ δόγματά τε καὶ μυστήρια,,, καθὸ " ἐν- " τάλματα ἀνθρώπων, ,, ὅπως δυνηθῇ καταλλαγῆναι ἡ τὰ πάντα καινοτομήσασα τῆς Δύσεως Ἐκκλησία πρὸς τὴν ἀναλλοίωτον Καθολικὴν ὀρθόδοξον Πίστιν τῶν κοινῶν Πατέρων ἡμῶν, εἰς ἣν, ὡς γνωρίζει, καθὰ λέγει (σελ. 8. στιχ. 30.), τὴν ἡμετέραν κοινὴν σπουδὴν, " τοῦ νὰ προσέχωμεν εἰς τὴν διατη- " ρηθεῖσαν ὑπὸ τῶν προγόνων ἡμῶν διδασκαλίαν.,, οὕτω καλῶς ποιεῖ διδάσκουσα (αὐτοθ. στιχ. 31.) ἡμᾶς, ἵνα " ἀκολουθῶμεν τοὺς ἀρχαίους Ἱεράρχας " καὶ πιστοὺς τῶν Ἀνατολικῶν Ἐπαρχιῶν, ,, οἵτινες πῶς ἑνόουν τὸ διδασκαλικὸν ἀξίωμα τῶν Ἀρχιεπισκόπων τῆς Πρεσβυτέρας Ῥώμης, καὶ ποίαν τινὰ ἰδέαν αὐτῶν ὀφείλομεν ἔχειν ἐν τῇ Ὀρθοδόξῳ

НБ ОНУ імені І. І. Мечникова

Ἐκκλησίᾳ, καὶ τίνι τρόπῳ δεῖ δέχεσθαι τὰς διδασκαλίας αὐτῶν, Συνοδικῶς τε δεδώκασιν ἡμῖν ὑπογραμμὸν (§. 15.), καὶ ὁ οὐρανοφάντωρ Βασίλειος σαφῶς ἡρμήνευσε (§.17.)· πῶς δὲ καὶ τὸ Κυριαρχικὸν, ἐπειδὴ ἐνταῦθα οὐ πραγματείαν ἐκτιθέμεθα, αὐτὸς ὁ μέγας Βασίλειος πάλιν ὑποτυπωσάτω ἐν ὀλίγοις, " ἐβουλόμην αὐτῶν ἐπιστεῖλαι τῷ κορυφαίῳ (αὐτοθ.).

§ 17. Ἐκ τούτων ἁπάντων συμπεραίνει καὶ πᾶς μὲν τρόφιμος τῆς ὑγιοῦς Καθολικῆς διδασκαλίας, ἀλλ᾽ ἰδίως ἡ αὐτοῦ Μακαριότης, πόσον ἀνόσιον μὲν καὶ ἀντισυνοδικὸν τὸ κατατολμᾶν ἀλλοίωσιν τῶν ἡμετέρων Δογμάτων τε καὶ λειτουργιῶν καὶ λοιπῶν ἱερουργιῶν γενομένων τε καὶ δὴ καὶ μαρτυρουμένων ὁμηλίκων τῷ χριστιανικῷ κηρύγματι, διὰ τὸ ἀπονεμηθὲν αὐτοῖς ἀείποτε σέβας, καὶ τὸ πιστεύεσθαι ἄθικτα, καὶ ὑπ᾽ αὐτῶν τῶν ἀρχαίων ὀρθοδόξων Παπῶν, οἷς ποτε ταῦτα καὶ ἡμῖν κοινὰ ἐχρημάτισαν· Πόσον δὲ εὐπρεπές τε καὶ ὅσιον ἡ βελτίωσις τῶν καινοτομιῶν, ὧν τὴν κεχρονολογημένην εἰσαγωγὴν ἐν τῇ Ἐκκλησίᾳ τῆς Ῥώμης ἡμεῖς τε καθ᾽ ἕκαστον οἴδαμεν, καὶ οἱ ἀοίδιμοι Πατέρες ἡμῶν διεμαρτυρήθησαν ἐγκαίρως κατὰ τοῦ νεωτερισμοῦ. Εἰσὶ δὲ καὶ ἕτεροι λόγοι εὐχερείας εἰς τὴν αὐτοῦ Μακαριότητα τῆς τοιαύτης μεταβολῆς. Πρῶτον· ὅτι τὰ μὲν ἡμέτερα ἦσάν ποτε σεβάσμια καὶ εἰς τοὺς Δυτικοὺς, ὡς τὰς αὐτὰς ἱερουργίας ἔχοντας, καὶ τὸ αὐτὸ Σύμβολον ὁμολογοῦντας· τὰ δὲ νεωτερικὰ οὔτε

γνωστὰ τοῖς Πατράσιν ἡμῶν, οὔτε δυνάμενα ἀποδειχθῆναι κἂν ἐκ τῶν συγγραμμάτων τῶν ὀρθοδόξων Δυτικῶν Πατέρων, οὔτε μὴν σύστασιν φέροντα οὔτε ἐκ τῆς ἀρχαιότητος οὔτε ἐκ τῆς Καθολικότητος. Ἔπειτα· παρ' ἡμῖν οὔτε Πατριάρχαι οὔτε Σύνοδοι ἐδυνήθησάν ποτε εἰσαγαγεῖν νέα· διότι ὁ ὑπερασπιστὴς τῆς θρησκείας ἐστὶν αὐτὸ τὸ σῶμα τῆς Ἐκκλησίας: ἤτοι αὐτὸς ὁ Λαός, ὅς τις ἐθέλει τὸ θρήσκευμα αὐτοῦ αἰωνίως ἀμετάβλητον καὶ ὁμοειδὲς τῷ τῶν Πατέρων αὐτοῦ, ὡς ἔργῳ ἐπειράθησαν καὶ πολλοὶ τῶν ἀπὸ τοῦ σχίσματος Παπῶν τε καὶ Πατριαρχῶν Λατινοφρόνων μηδὲν ἀνύσαντες, ἐν ᾧ ἐν τῇ Δυτικῇ Ἐκκλησίᾳ, ὡς οἱ κατὰ καιροὺς Πάπαι ἢ εὐκόλως ἢ βίᾳ ἐκανόνισαν τὰ νεολογούμενα δι' οἰκονομίαν, καθὰ ἀπελογοῦντο πρὸς τοὺς Πατέρας ἡμῶν, καίτοι καταμελίζοντες τὸ σῶμα τοῦ Χριστοῦ, οὕτω πάλιν Πάπας διὰ θείαν ὄντως καὶ δικαιοτάτην οἰκονομίαν δύναται, καταρτίζων οὐ δίκτυα, ἀλλ' αὐτὸν τὸν διασχισθέντα χιτῶνα τοῦ Σωτῆρος, ἀντικαταστῆσαι τὰ σεβάσμια ἀρχαῖα, "ἱκανὰ νὰ τηρήσωσι τὴν εὐσέβειαν," ὡς λέγει καὶ ἡ αὐτοῦ Μακαριότης (σελ. 11. στιχ. 16.) ἅπερ καὶ αὐτὸς τιμᾷ, ὡς λέγει (αὐτοθ. στιχ.14.), καὶ οἱ προκάτοχοι αὐτοῦ, ἐπειπὼν τὸν ἀξιομνημόνευτον λόγον τῶν τινος μακαρίων προκατόχων αὐτοῦ (ἔστι δὲ οὗτος Κελεστῖνος ὁ ἐπὶ τῆς Γ'. Οἰκουμενικῆς Συνόδου) Desinat novitas incessere vetustatem "παυσάσθω ἡ καινοτομία μικίνειν τὴν ἀρχαιότητα."

Καὶ ἀπολαυέτω κἂν τοῦτο τὸ ὄφελος ἡ Καθολικὴ Ἐκκλησία ἐκ τοῦ μέχρι τοῦδε ἀναμαρτήτου τῶν ἀποφάνσεων τῶν Παπῶν. Πάντως ὁμολογητέον, ὅτι εἰς τοιαύτην ἐπιχείρησιν,καίτοι τηλικοῦτος ὢν Πῖος ὁ θ΄. καὶ τὴν σοφίαν καὶ τὴν εὐλάβειαν καὶ τὸν τῆς χριστιανικῆς ἑνώσεως ἐν τῇ Καθολικῇ Ἐκκλησίᾳ ζῆλον, ὡς λέγει, μέλλει ὅμως ἀπαντῆσαι ἔνδοθέν τε καὶ ἔξωθεν δυσχερείας καὶ κόπους. Ἀλλ᾽ ἐνταῦθα ἡμεῖς μὲν ὀφειλέται ἐσμὲν μάλισθ᾽, ὅπως ὑπενθυμίσωμεν, καὶ ἀπέστω τόλμη! τὴν αὐτοῦ Μακαριότητα, αὐτὸ τοῦτο τὸ θέμα τῆς Ἐπιστολῆς αὐτοῦ (σελ. 8 στιχ. 52.), ‘‘ ὅτι εἰς τὰ ἀφορῶντα
‘‘ τὴν ὁμολογίαν τῆς θείας θρησκείας οὐδὲν δεινὸν
‘‘ ὑπάρχει, τὸ ὁποῖον καὶ διὰ τὴν Δόξαν τοῦ Χρι-
‘‘ στοῦ, καὶ διὰ τὴν ἀνταπόδοσιν ἐν τῇ αἰωνίᾳ ζωῇ
‘‘ νὰ μὴν ὀφείλῃ τις νὰ ὑπομένῃ.,, Κεῖται δὲ εἰς τὴν αὐτοῦ Μακαριότητα, ἵνα δείξῃ ἐνώπιον Θεοῦ καὶ ἀνθρώπων, ὅτι ὡς συμβουλῆς θεαρέστου Ἔξαρχος, οὕτω καὶ διεκδικητὴς πρόθυμος τῆς ἀδικουμένης εὐαγγελικῆς καὶ συνοδικῆς ἀληθείας, ἔτι καὶ τῇ τῶν ἰδίων αὐτοῦ συμφερόντων θυσίᾳ, ὥστε εἶναι κατὰ τὸν Προφήτην (Ἠσ. μ. 17.) ‘‘ Ἄρχων ἐ ν
‘‘ ε ἰ ρ ή ν ῃ καὶ Ἐπίσκοπος ἐ ν δ ι κ α ι ο σ ύ ν ῃ. Γένοιτο! Ἀλλ᾽ ἕως ἂν γένηται αὕτη ἡ ἐπιθυμητὴ τῶν ἀποστατησασῶν Ἐκκλησιῶν ἐπιστροφὴ εἰς τὸ σῶμα τῆς μιᾶς ἁγίας Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας, ἧς ὁ μὲν ‘‘Χριστὸς κεφαλὴ.,(Παυλ. Ἐφ. δ΄. 15.) ἡμεῖς δὲ ἕκαστος ‘‘μέλη ἐκ μέρους,,

НБОНУ імені І.І. Мечникова

πᾶσα συμβουλὴ γιγνομένη ὑπ' αὐτῶν, καὶ πᾶσα παραίνεσις αὐτεπάγγελτος, τείνουσα εἰς κατάλυσιν τῆς Πατροπαραδότου ἡμετέρας ἀμωμήτου Πίστεως, οὐ μόνον ὡς ὕποπτος καὶ φευκτέα, ἀλλὰ καὶ ὡς δυσσεβὴς καὶ ψυχώλεθρος δικαίως κατακρίνεται Συνοδικῶς· καὶ εἰς ταύτην τὴν κατηγορίαν ἀνάγεται ἐν πρώτοις καὶ ἡ ῥηθεῖσα πρὸς τοὺς Ἀνατολικοὺς ἐγκύκλιος τοῦ Ἐπισκόπου τῆς Πρεσβυτέρας Ῥώμης Πάπα Πίου τοῦ Θ΄. καὶ τοιαύτην κηρύττομεν αὐτὴν ἐν τῇ Καθολικῇ Ἐκκλησίᾳ.

§ 18. Διὰ τοῦτο, ἀγαπητοὶ Ἀδελφοὶ καὶ Συλλειτουργοὶ τῆς ἡμῶν Μετριότητος, ὡς ἀείποτε, οὕτω καὶ νῦν μάλιστα ἐν τῇ περιπτώσει ταύτῃ τῆς ἐκδόσεως τῆς ῥηθείσης Ἐγκυκλίου, χρέος ἀπαραίτητον νομίζομεν ἑαυτοῖς κατὰ τὴν ἡμετέραν Πατριαρχικὴν καὶ Συνοδικὴν ἐνοχὴν, ὅπως μὴ ἀπόληται μηδεὶς ἐκ τῆς θείας Μάνδρας τῆς Καθολικῆς ὀρθοδόξου Ἐκκλησίας, τῆς Ἁγιωτάτης Μητρὸς ἁπάντων ἡμῶν, ἵνα ἡμᾶς τε αὐτοὺς καθ' ἑκάστην ἐπενθυμίζωμεν, καὶ ὑμᾶς προτρέπωμεν εἰς αὐτὸ, ὅπως ὑπενθυμίζοντες ἀλλήλους τοὺς λόγους καὶ προτροπὰς τοῦ μακαρίου Παύλου πρὸς τοὺς ἱεροὺς Προκατόχους ἡμῶν, οὓς αὐτὸς μετεκαλέσατο ἐν τῇ Ἐφέσῳ, ἐπαναλαμβάνωμεν πρὸς ἀλλήλους. "Προ-
" σέχετε ἑαυτοῖς καὶ παντὶ τῷ Ποιμνίῳ, ἐν ᾧ ἡμᾶς
" τὸ Πνεῦμα τὸ ἅγιον ἔθετο Ἐπισκόπους ποιμαί-
" νειν τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, ἣν περιεποιήσατο

" διὰ τοῦ ἰδίου αἵματος. Ἐγὼ γὰρ οἶδα τοῦτο,
" ὅτι εἰσελεύσονται μετὰ τὴν ἄφιξίν μου " λύκοι,
" βαρεῖς ,, εἰς ὑμᾶς μὴ φειδόμενοι τοῦ Ποιμνίου,
" καὶ ἐξ ὑμῶν αὐτῶν ἀναστήσονται ἄνδρες
" λαλοῦντες διεστραμμένα τοῦ ἀποσπᾶν τοὺς μα-
" θητὰς ὀπίσω αὐτῶν. Διὸ γρηγορεῖτε. ,, (Πραξ. κ΄.)
Τότε οἱ Προκάτοχοι καὶ Πατέρες ἡμῶν, ἀκούσαντες τὰς θείας ταύτας παραγγελίας, κλαυθμὸν μέγαν ἐποιήσαντο, καὶ ἐπιπεσόντες εἰς τὸν τράχηλον αὐτοῦ κατεφίλουν αὐτόν. Δεῦτε οὖν καὶ ἡμεῖς ἀδελφοί, ἀκούοντες αὐτοῦ νουθετοῦντος ἡμᾶς μετὰ δακρύων, ἐπιπέσωμεν νοερῶς ὀλοφυρόμενοι ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ καταφιλοῦντες παρηγορήσωμεν αὐτὸν τῇ σταθερᾷ ἡμῶν ὑποσχέσει, ὅτι οὐδεὶς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ, οὐδεὶς ἡμᾶς παρακρούσει ἀπὸ τῆς εὐαγγελικῆς διδασκαλίας, οὐδεὶς ἡμᾶς ἀποπλανήσει τῆς ἀσφαλοῦς ὁδηγίας τῶν Πατέρων ἡμῶν, ὥσπερ κἀκείνους οὐδεὶς ἠδυνήθη πλανῆσαι σὺν πάσῃ τῇ σπουδῇ, ἣν κατέβαλον κατὰ καιροὺς οἱ ἐπ' αὐτῷ ἐπεγερθέντες ὑπὸ τοῦ πειράζοντος· ὅπως ἀκούσωμεν παρὰ τοῦ Δεσπότου τό, " Εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, ,, κομιζόμενοι τὸ τέλος τῆς Πίστεως, ἤτοι τὴν σωτηρίαν τῶν ψυχῶν ἡμῶν τε καὶ τοῦ λογικοῦ Ποιμνίου, ἐφ' ὃ κατέστησεν ἡμᾶς τὸ Πνεῦμα τὸ ἅγιον Ποιμένας.

§ 19. Ταύτην τὴν Ἀποστολικὴν παραγγελίαν καὶ προτροπὴν δι' ὑμῶν διαβιβάζομεν καὶ εἰς ἅπαν τὸ ὀρθόδοξον σύστημα, ὅπου ποτὲ γῆς εὑρίσκονται πο-

λιτευόμενοι, εἰς τοὺς Ἱερεῖς καὶ εἰς τοὺς Ἱερομονάχους, εἰς τοὺς Ἱεροδιακόνους καὶ Μοναχοὺς, ἑνὶ λόγῳ εἰς ἅπαντα τὸν Κλῆρον καὶ τὸν εὐσεβῆ Λαὸν, ἄρχοντάς τε καὶ ἀρχομένους, πλουσίους ἢ πένητας, εἰς τοὺς γονεῖς καὶ εἰς τὰ τέκνα, εἰς τοὺς διδασκάλους καὶ μαθητὰς, εἰς τοὺς πεπαιδευμένους καὶ ἀπαιδεύτους, εἰς τοὺς κυρίους καὶ ὑπηρέτας, ὅπως ἅπαντες ἐνισχύοντες καὶ συμβουλεύοντες ἀλλήλους " δυνηθῶμεν στῆναι πρὸς τὰς μεθοδίας τοῦ " διαβόλου. „ Οὕτω γὰρ προτρέπει ἡμᾶς ἅπαντας καὶ ὁ μακάριος Πέτρος ὁ Ἀπόστολος (Ἐπις. β΄.) " νήψατε, γρηγορήσατε, ὅτι ὁ ἀντίδικος ἡμῶν δια-" βολος, ὡς λέων ὠρυόμενος περιπατεῖ ζητῶν τίνα " καταπίῃ· ᾧ ἀντίστητε στερεοὶ τῇ Πί-" στει. „

§ 20. Ἡ γὰρ Πίστις ἡμῶν, ἀδελφοὶ, οὐκ ἐξ ἀνθρώπων οὐδὲ δι' ἀνθρώπου, ἀλλὰ δι' ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ, ἣν ἐκήρυξαν οἱ θεῖοι Ἀπόστολοι, ἐκράτυναν αἱ ἱεραὶ Οἰκουμενικαὶ Σύνοδοι, παρέδωκαν ἐκ διαδοχῆς οἱ μέγιστοι σοφοὶ Διδάσκαλοι τῆς Οἰκουμένης, καὶ ἐπεκύρωσαν τὰ ἐκχυθέντα αἵματα τῶν ἁγίων Μαρτύρων. " Κρατῶμεν τῆς ὁμολο-" γίας, „ ἣν παρελάβομεν ἄδολον παρὰ τηλικούτων ἀνδρῶν, ἀποστρεφόμενοι πάντα νεωτερισμὸν, ὡς ὑπαγόρευμα τοῦ διαβόλου· ὁ δεχόμενος νεωτερισμὸν κατελέγχει ἐλλιπῆ τὴν κεκηρυγμένην ὀρθόδοξον Πίστιν. Ἀλλ' αὕτη πεπληρωμένη ἤδη ἐσφράγισται, μὴ ἐπιδεχομένη μήτε μείωσιν, μήτε αὔξη-

НБ ОНУ імені І. І. Мечникова

σιν, μήτε ἀλλοίωσιν ἥντιναοῦν, καὶ ὁ τολμῶν ἢ πρᾶξαι ἢ συμβουλεῦσαι ἢ διανοηθῆναι τοῦτο ἤδη ἠρνήθη τὴν Πίστιν τοῦ Χριστοῦ, ἤδη ἑκουσίως καθυπεβλήθη εἰς τὸ αἰώνιον ἀνάθεμα, διὰ τὸ βλασφημεῖν εἰς τὸ Πνεῦμα τὸ ἅγιον, ὡς τάχα μὴ ἀρτίως λαλῆσαν ἐν ταῖς Γραφαῖς καὶ διὰ τῶν Οἰκουμενικῶν Συνόδων· τὸ φρικτὸν τοῦτο ἀνάθεμα, ἀδελφοὶ καὶ τέκνα ἐν Χριστῷ ἀγαπητά, οὐκ ἐκφωνοῦμεν ἡμεῖς σήμερον, ἀλλ' ἐξεφώνησε πρῶτος ὁ Σωτὴρ ἡμῶν (Ματθ. ιβ'. 32.) "ὃς ἂν εἴπῃ κατὰ "τοῦ Πνεύματος τοῦ ἁγίου οὐκ ἀφεθήσεται αὐτῷ "οὔτε ἐν τῷ νῦν αἰῶνι οὔτε ἐν τῷ μέλλοντι,, ἐξεφώνησεν ὁ θεῖος Παῦλος (Γαλ. α'. 6.) "θαυμάζω "ὅτι οὕτω ταχέως μετατίθεσθε ἀπὸ τοῦ καλέσαν-"τος ἡμᾶς ἐν χάριτι Χριστοῦ εἰς ἕτερον εὐαγγέλιον, "ὃ οὐκ ἔστιν ἄλλο, εἰ μή τινές εἰσιν οἱ τα-"ράσσοντες ἡμᾶς, καὶ θέλοντες με-"ταστρέψαι τὸ Εὐαγγέλιον τοῦ Χρι-"στοῦ· ἀλλὰ καὶ ἐὰν ἡμεῖς, ἢ Ἄγγε-"λος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν παρ' ὃ εὐ-"ηγγελισάμεθα ὑμῖν ἀνάθεμα ἔστω·,, ἐξεφώνησαν τοῦτο αἱ ἑπτὰ Οἰκουμενικαὶ Σύνοδοι καὶ σύμπας ὁ χορὸς τῶν Θεοφόρων Πατέρων. Ἅπαντες οὖν οἱ νεωτερίζοντες ἢ αἱρέσει ἢ σχίσματι, ἑκουσίως ἐνεδύθησαν κατὰ τὸν ψαλμῳδὸν (ψαλμ. ρη'. 17.) "κατάραν ὡς ἱμάτιον,, κἄν τε Πάπαι, κἄν τε Πατριάρχαι, κἄν τε Κληρικοί, κἄν τε Λαϊκοὶ ἔτυχον εἶναι· "κἂν Ἄγγελος ἐξ οὐρανοῦ, ἀνά-

" θεμα έστω, εἴ τις ὑμᾶς εὐαγγελίζηται
" παρ' ὃ παρελάβετε. „ Οὕτω φρονοῦντες οἱ Πατέρες ἡμῶν, καὶ ὑπακούοντες εἰς τοὺς ψυχοσωτηρίους λόγους τοῦ Παύλου, ἐστάθησαν σταθεροὶ καὶ ἑδραῖοι εἰς τὴν ἐκ διαδοχῆς παραδοθεῖσαν αὐτοῖς Πίστιν, καὶ διέσωσαν αὐτὴν ἄτρεπτον καὶ ἄχραντον διὰ μέσου τοσούτων αἱρέσεων, καὶ παρέδωκαν αὐτὴν εἰς ἡμᾶς εἰλικρινῆ καὶ ἀνόθευτον, ὡς ἐξῆλθεν ἄδολος ἀπὸ τοῦ στόματος τῶν πρώτων ὑπηρετῶν τοῦ Λόγου· οὕτω φρονοῦντες καὶ ἡμεῖς, ἄδολον, ὡς παρελάβομεν, μετοχετεύσομεν αὐτὴν εἰς τὰς ἐπερχομένας γενεὰς μηδὲν παραμείβοντες, ἵνα ὦσι κἀκεῖνοι, ὡς καὶ ἡμεῖς, εὐπαρουσίαστοι καὶ ἀκαταίσχυντοι, λαλοῦντες περὶ τῆς τῶν Προγόνων αὐτῶν Πίστεως.

§ 21. Ὅθεν, ἀδελφοὶ καὶ τέκνα ἐν Κυρίῳ ἡμῶν ἀγαπητά," τὰς ψυχὰς ἡμῶν ἡγνικότες ἐν ὑπακοῇ " τῆς ἀληθείας,, κατὰ τὸν Ἀπόστολον (Α΄. Πετρ. α΄. 22.), προσέχωμεν τοῖς ἀκουσθεῖσι μήποτε παραῤῥυῶμεν,, (Ἑβρ. α΄. 1.). Ἡ Πίστις καὶ ἡ ὁμολογία ἣν κατέχομεν ἀκαταίσχυντός ἐστι, διδασκομένη ἐν τῷ Εὐαγγελίῳ ἐκ στόματος τοῦ Κυρίου ἡμῶν, μεμαρτυρημένη ὑπὸ τῶν ἁγίων Ἀποστόλων, ὑπὸ τῶν ἱερῶν ἑπτὰ Οἰκουμενικῶν Συνόδων, κεκηρυγμένη εἰς τὴν ὑφήλιον, μαρτυρουμένη καὶ ὑπὸ τῶν ἐχθρῶν αὐτῆς, οἵτινες, πρὶν ἢ ἀποστατήσωσιν ἀπὸ τῆς Ὀρθοδοξίας εἰς τὰς αἱρέσεις, αὐτὴν τὴν Πίστιν κατεῖχον καὶ αὐτοί, ἢ κἂν οἱ Πατέρες, ἢ

НБ ОНУ імені І.І.Мечникова

οἱ Προπάτορες αὐτῶν· μαρτυρεῖται ὑπὸ τῆς διηνεκοῦς ἱστορίας, ὡς θριαμβεύσασα κατὰ πασῶν τῶν αἱρέσεων, αἵτινες κατεδίωξαν καὶ καταδιώκουσιν αὐτήν, ὡς ὁρᾶτε, μέχρι τῆς σήμερον. Οἱ ἀλληλοδιάδοχοι ἱεροὶ θεῖοι Πατέρες καὶ Προκάτοχοι ἡμῶν ἀρχόμενοι ἀπὸ τῶν Ἀποστόλων, καὶ οὓς κατέστησαν οἱ Ἀπόστολοι διαδόχους μέχρι τῆς σήμερον, μίαν καὶ ἀδιάῤῥηκτον ἅλυσιν καταρτίζοντες, καὶ χειρὶ χεῖρα συνδέοντες συγκλείουσιν ἱερὸν Περίβολον, οὗ " θύρα ὁ Χριστὸς, ,, ἐν ᾧ ἅπαν τὸ ὀρθόδοξον Ποίμνιον ποιμαίνεται εἰς τὰς ζειδώρους νομὰς τῆς μυστικῆς Ἐδὲμ, καὶ οὐχὶ "εἰς ἄνο" δα καὶ τραχέα!,, ὡς ὑπολαμβάνει ἡ αὐτοῦ Μακαριότης (σελ. 7 στιχ. 12.)· ἡ Ἐκκλησία ἡμῶν κατέχει αὐτὰ τὰ ἀδιάπτωτα καὶ ἀνόθευτα κείμενα τῶν θείων Γραφῶν, τῆς μὲν παλαιᾶς Διαθήκης τὴν ἀληθῆ καὶ ἀρτίαν μετάφρασιν, τῆς δὲ νέας αὐτὸ τὸ θεῖον Πρωτότυπον· αἱ τελεταὶ τῶν ἱερῶν Μυστηρίων καὶ ἰδίᾳ αἱ τῆς θείας Λειτουργίας εἰσὶν αὐταὶ ἐκεῖναι αἱ Ἀποστολοπαράδοτοι λαμπραὶ καὶ κατανυκτικαὶ τελεταί. Οὐδὲν ἔθνος, οὐδεμία κοινωνία Χριστιανικὴ δύναται καυχηθῆναι εἰς τὸν Ἰάκωβον, εἰς τὸν Βασίλειον, εἰς τὸν Χρυσόστομον· αἱ σεπταὶ Οἰκουμενικαὶ Σύνοδοι, οὗτοι οἱ ἑπτὰ στύλοι τοῦ οἴκου τῆς Σοφίας ἐν αὐτῇ καὶ παρ' ἡμῖν συνεκροτήθησαν· αὐτὴ κατέχει τὰ πρωτότυπα τῶν ἱερῶν Ὅρων αὐτῶν. Οἱ ἐν αὐτῇ Ποιμένες, καὶ τὸ τίμιον Πρεσβυτέριον, καὶ τὸ Μοναχικὸν

Τάγμα διατηρεῖ αὐτὴν τὴν ἀρχαιοτάτην εὐαγῆ σεμνότητα τῶν πρώτων αἰώνων τοῦ χριστιανισμοῦ, καὶ εἰς τὰς ἀξιώσεις καὶ εἰς τὸ πολίτευμα, ἔτι καὶ εἰς αὐτὴν τὴν ἁπλοϊκὴν ἀμφίεσιν αὐτῶν. Ναί! ἀληθῶς, εἰς ταύτην τὴν ἁγίαν Μάνδραν διηνεκῶς ἐπέπεσόν τε καὶ ἐπιπίπτουσιν, ὡς καὶ ἐφ' ἡμῖν ὁρῶμεν, " Λύκοι βαρεῖς, ,, κατὰ τὴν πρόῤῥησιν τοῦ Ἀποστόλου, ὅπερ δείκνυσιν, ὅτι τὰ ἀληθῆ ἀρνία τοῦ Ἀρχιποίμενος ἐν αὐτῇ ἐπαυλίζονται, ἀλλ' αὐτὴ καὶ ἔψαλε καὶ ψαλεῖ εἰς τὸν αἰῶνα " κυκλώσαντες ἐκύκλωσάν με καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς,, (ψαλ. 117. 11.). Προσθήσομεν δὲ καὶ ἀνάμνησιν λυπηρὰν μέν, χρήσιμον δὲ εἰς ἀπόδειξιν καὶ πίστωσιν τῆς ἀληθείας τῶν ἡμετέρων λόγων. Ἅπανθ' ὅσα χριστιανικὰ γένη ὁρῶνται τὴν σήμερον σεμνυνόμενα εἰς τὸ ὄνομα τοῦ Χριστοῦ, μὴ ἐξαιρουμένης μήτε αὐτῆς τῆς Δύσεως, μηδ' αὐτῆς τῆς Ῥώμης, ὡς καὶ ὑπὸ τοῦ Καταλόγου τῶν πρώτων Παπῶν βεβαιούμεθα, ὑπὸ τῶν ἡμετέρων ἁγίων Προκατόχων καὶ Πατέρων ἐδιδάχθησαν τὴν ἀληθῆ εἰς Χριστὸν Πίστιν, κἂν ὕστερον ἄνδρες δολιότητος, ὧν πολλοὶ καὶ Ποιμένες καὶ Ἀρχιποίμενες ὄντες τῶν ῥηθέντων Γενῶν, κατατολμήσαντες δειλαίοις λογισμοῖς καὶ γνώμαις αἱρετικαῖς, ἐμίαναν φεῦ! τὴν ὀρθοδοξίαν τῶν Ἐθνῶν ἐκείνων, ὡς ἡ ἀψευδὴς ἱστορία διδάσκει ἡμᾶς, ὡς προεῖπεν ὁ Παῦλος.

§ 22. Διὰ τοῦτο ἐπιγνῶμεν, ἀδελφοὶ καὶ τέκνα ἡμῶν πνευματικά, ἡλίκη ἡ χάρις, ἣν ἔδωκεν ὁ

НБ ОНУ імені І.І. Мечникова

Θεὸς εἰς τὴν ὀρθόδοξον Πίστιν ἡμῶν, καὶ εἰς τὴν Μίαν Ἁγίαν Καθολικὴν καὶ Ἀποστολικὴν Αὐτοῦ Ἐκκλησίαν, ἥτις, οἷα Μήτηρ ἀνύποπτος παρὰ τῷ ἀνδρὶ αὐτῆς, ἀνατρέφει ἡμᾶς ἀκαταισχύντους καὶ εὐαπολογήτους ἐν εὐγενεῖ παῤῥησίᾳ " περὶ τῆς " ἐν ἡμῖν Ἐλπίδος.,, Ἀλλὰ τί ἀνταποδόσωμεν ἡμεῖς οἱ ἁμαρτωλοὶ τῷ Κυρίῳ " περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν;,, Ὁ ἀνενδεὴς Κύριος καὶ Θεὸς ἡμῶν, ὁ τῷ οἰκείῳ αἵματι ἀνακτησάμενος ἡμᾶς, οὐδὲν ἕτερον ἀπαιτεῖ ἀφ' ἡμῶν, εἰμὴ τὴν ἐξ ὅλης ψυχῆς καὶ καρδίας ἀφοσίωσιν ἡμῶν εἰς τὴν ἀμώμητον ἱερὰν Πίστιν τῶν Πατέρων ἡμῶν, τὴν ἀγάπην καὶ τὸ φίλτρον εἰς τὴν ἀναγεννήσασαν ἡμᾶς οὐ ῥαντίσματι νεωτερικῷ, ἀλλὰ τῷ θείῳ Λουτρῷ τοῦ Ἀποστολικοῦ Βαπτίσματος ὀρθόδοξον Ἐκκλησίαν, τὴν τρέφουσαν ἡμᾶς κατὰ τὴν αἰωνίαν Διαθήκην τοῦ Σωτῆρος ἡμῶν τῷ ἰδίῳ αὐτοῦ τιμίῳ Σώματι, καὶ ἀφθόνως, οἷα γνησία Μήτηρ, ποτίζουσαν ἡμᾶς τῷ ὑπὲρ ἡμῶν καὶ ὑπὲρ τῆς τοῦ Κόσμου σωτηρίας ἐκχυθέντι τιμίῳ αὐτοῦ Αἵματι. Περικυκλώσωμεν οὖν αὐτὴν νοερῶς, " ὡς τὰ νοσσία τὴν ὄρνιν, ,, ὅπου ποτὲ γῆς εὑρισκόμεθα, εἰς Ἄρκτον ἢ εἰς Μεσημβρίαν, εἰς Ἀνατολὴν ἢ Δύσιν· ἐξαρτήσωμεν τὰ ὄμματα καὶ τὰς διανοίας ἡμῶν αὐτῶν ἐκ τῆς θειοτάτης αὐτῆς καὶ λαμπροτάτης ὄψεώς τε καὶ καλλονῆς· ἐπιλαβώμεθα ἀμφοτέραις ταῖς χερσὶ τοῦ φωτεινοῦ χιτῶνος αὐτῆς, ὃν περιέβαλεν ἰδίαις ἀχράντοις αὐτοῦ χερσὶν " ὁ νυμφίος ὁ ὡραῖος κάλλει, ,, ὅ-

τε ἐλυτρώσατο αὐτὴν ἐκ τῆς δουλείας τοῦ πλάνου, καὶ ἐστόλισεν αὐτὴν νύμφην ἑαυτῷ αἰωνίαν. Συναισθανθῶμεν εἰς τὰς ψυχὰς ἡμῶν αὐτῶν τὸ ἀμοιβαῖον ἀλγεινὸν αἴσθημα Μητρὸς φιλοτέκνου, καὶ τέκνων φιλομητόρων, ὅταν λυκόφρονες ἄνδρες καὶ ψυχοκάπηλοι σπουδάζωσι καὶ μεθοδεύωνται, ἵνα ἢ ἐκείνην ἀπαγάγωσι δούλην, ἢ αὐτὰ, ὡς ἀρνία ἐκ τῶν μητέρων αὐτῶν ἀφαρπάσωσιν. Ἐντείνωμεν δὲ τοῦτο τὸ αἴσθημα Κληρικοί τε καὶ Λαϊκοὶ ἤδη μάλιστα, ὅταν ὁ νοητὸς τῆς σωτηρίας ἡμῶν ἐχθρὸς χορηγῶν (σελ. **11.** στιχ. **2-25.**) ἀπατηλὰς εὐκολίας, τηλικαῦτα μεταχειρίζηται ὄργανα, καὶ περιπατῇ ἁπανταχοῦ, κατὰ τὸν μακάριον Πέτρον, " ζητῶν τίνα " καταπίῃ,, καὶ ὅταν " ἐν ὁδῷ ταύτῃ, ᾗ πορευό- "μεθα,, εἰρηνικῶς τε καὶ ἀκάκως, ἱστᾷ τὰς δολερὰς παγίδας αὐτοῦ.

§ 23. Ὁ δὲ Θεὸς τῆς εἰρήνης, " ὁ ἀναγαγὼν ἐκ " νεκρῶν τὸν Ποιμένα τῶν προβάτων τὸν Μέγαν,, " ὃς οὐ νυστάζει, οὐδὲ ὑπνώσσει φυλάσσων τὸν Ἰσ- " ραὴλ,, "φρουρήσει τὰς καρδίας ὑμῶν καὶ τὰ νοή- ,, ματα ὑμῶν, " καὶ κατευθυνεῖ τὰς ὁδοὺς ὑμῶν, εἰς πᾶν ἔργον ἀγαθόν. Ἔρρωσθε χαίροντες ἐν Κυρίῳ.

αωμη'. κατὰ μῆνα Μάϊον.

Ἰνδικτιῶνος ς'.

НБ ОНУ імені І.І. Мечникова

† ΑΝΘΙΜΟΣ ΕΛΕΩ ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ, ΝΕΑΣ ΡΩΜΗΣ, ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ, ΕΝ ΧΡΙΣΤΩ ΤΩ ΘΕΩ ΑΓΑΠΗΤΟΣ ΑΔΕΛΦΟΣ ΚΑΙ ΕΥΧΕΤΗΣ.

† ΙΕΡΟΘΕΟΣ ΕΛΕΩ ΘΕΟΥ ΠΑΤΡΙΑΡΧΗΣ ΑΛΕΞΑΝΔΡΕΙΑΣ, ΚΑΙ ΠΑΣΗΣ ΓΗΣ ΑΙΓΥΠΤΟΥ, ΕΝ ΧΡΙΣΤΩ ΤΩ ΘΕΩ ΑΓΑΠΗΤΟΣ ΑΔΕΛΦΟΣ ΚΑΙ ΕΥΧΕΤΗΣ.

† ΜΕΘΟΔΙΟΣ ΕΛΕΩ ΘΕΟΥ ΠΑΤΡΙΑΡΧΗΣ ΤΗΣ ΜΕΓΑΛΗΣ ΘΕΟΥΠΟΛΕΩΣ ΑΝΤΙΟΧΕΙΑΣ, ΚΑΙ ΠΑΣΗΣ ΑΝΑΤΟΛΗΣ, ΕΝ ΧΡΙΣΤΩ ΤΩ ΘΕΩ ΑΓΑΠΗΤΟΣ ΑΔΕΛΦΟΣ ΚΑΙ ΕΥΧΕΤΗΣ.

† ΚΥΡΙΛΛΟΣ ΕΛΕΩ ΘΕΟΥ ΠΑΤΡΙΑΡΧΗΣ ΤΩΝ ΙΕΡΟΣΟΛΥΜΩΝ, ΚΑΙ ΠΑΣΗΣ ΠΑΛΑΙΣΤΙΝΗΣ, ΕΝ ΧΡΙΣΤΩ ΤΩ ΘΕΩ ΑΓΑΠΗΤΟΣ ΑΔΕΛΦΟΣ ΚΑΙ ΕΥΧΕΤΗΣ.

**Η ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ ΙΕΡΑ ΣΥΝΟΔΟΣ.**

† Ο ΚΑΙΣΑΡΙΑΣ ΠΑΙΣΙΟΣ.
† Ο ΕΦΕΣΟΥ ΑΝΘΙΜΟΣ.
† Ο ΗΡΑΚΛΕΙΑΣ ΔΙΟΝΥΣΙΟΣ.
† Ο ΚΥΖΙΚΟΥ ΙΩΑΚΕΙΜ.
† Ο ΝΙΚΟΜΗΔΕΙΑΣ ΔΙΟΝΥΣΙΟΣ.
† Ο ΧΑΛΚΗΔΟΝΟΣ ΙΕΡΟΘΕΟΣ.
† Ο ΔΕΡΚΩΝ ΝΕΟΦΥΤΟΣ.
† Ο ΑΔΡΙΑΝΟΥΠΟΛΕΩΣ ΓΕΡΑΣΙΜΟ

НБОНУ імені І.І.Мечникова

† Ο ΝΕΟΚΑΙΣΑΡΕΙΑΣ ΚΥΡΙΛΛΟΣ.
† Ο ΒΕΡΡΟΙΑΣ ΘΕΟΚΛΗΤΟΣ.
† Ο ΠΙΣΣΙΔΕΙΑΣ ΜΕΛΕΤΙΟΣ.
† Ο ΣΜΥΡΝΗΣ ΑΘΑΝΑΣΙΟΣ.
† Ο ΜΕΛΕΝΙΚΟΥ ΔΙΟΝΥΣΙΟΣ.
† Ο ΣΟΦΙΑΣ ΠΑΙΣΙΟΣ.
† Ο ΛΗΜΝΟΥ ΔΑΝΙΗΛ.
† Ο ΔΡΥΙΝΟΥΠΟΛΕΩΣ ΠΑΝΤΕΛΕΗΜ·
† Ο ΕΡΣΕΚΙΟΥ ΙΩΣΗΦ.
† Ο ΒΟΔΕΝΩΝ ΑΝΘΙΜΟΣ.

Η ΕΝ ΑΝΤΙΟΧΕΙΑ ΙΕΡΑ ΣΥΝΟΔΟΣ.

† Ο ΑΡΚΑΔΙΑΣ ΖΑΧΑΡΙΑΣ.
† Ο ΕΜΕΣΗΣ ΜΕΘΟΔΙΟΣ.
† Ο ΤΡΙΠΟΛΕΩΣ ΙΩΑΝΝΙΚΙΟΣ.
† Ο ΛΑΟΔΙΚΕΙΑΣ ΑΡΤΕΜΙΟΣ.

Η ΕΝ ΙΕΡΟΥΣΑΛΗΜ ΙΕΡΑ ΣΥΝΟΔΟΣ.

† Ο ΠΕΤΡΑΣ ΜΕΛΕΤΙΟΣ.
† Ο ΒΗΘΛΕΕΜ ΔΙΟΝΥΣΙΟΣ.
† Ο ΓΑΖΗΣ ΦΙΛΗΜΩΝ.
† Ο ΝΕΑΠΟΛΕΩΣ ΣΑΜΟΥΗΛ.
† Ο ΣΕΒΑΣΤΕΙΑΣ ΘΑΔΔΑΙΟΣ.
† Ο ΦΙΛΑΔΕΛΦΙΑΣ ΙΩΑΝΝΙΚΙΟΣ.
† Ο ΘΑΒΩΡΙΟΥ ΙΕΡΟΘΕΟΣ.

НБ ОНУ імені І.І. Мечникова

НБ ОНУ імені І.І.Мечникова

НБ ОНУ імені І.І.Мечникова

χειρὶ χεῖρα συνδέοντες

НБ ОНУ імені І.І.Мечникова

НБ ОНУ імені І.І.Мечникова